ΑΠΟΔΟΚΙΜΑΣΙΑ
ΚΑΙ ΚΑΤΑΚΡΙΣΙΣ

Τῆς ὑπ' ὀνόματι Κυρίλλου Πατριάρχου Κωνσταντινουπόλεως ἐκδοθείσης ὁμολογίας τῆς πίστεως, ἤτοι μᾶλλον ἀπιστίας τῶν Καλβινιστῶν ἢ Ζυγγλίων,

ΚΑΙ Η ΤΩΝ
ΑΝΑΘΕΜΑΤΙΣΜΩΝ

Παρ' αὐτοῦ δὴ τοῦ Κυρίλλου πάλαι ἐκφωνηθέντων ὑπεξάλειψις.

1872

ROMAE, Typis Sacr. Congreg. de Prop. Fide. MDCXXXII.
Superiorum Licentia.

37
1442

Imprimatur si placet Reuerendiss. P. M. Sac. Pal. Apost.

A. Tornielius Vicesg.

OPellam hanc Illustriss. & Reuerendiss. Domini Ioan. Matthæi Caryophili Archiepiscopi Iconiensis, inscriptam, Ἀντιδοκιμασίαν καὶ Καθαίρεσιν, iussu Reuerendiss P. Fr. Nicolai Riccardij S. P. A. M legi, eamque ex fide respõdentem reperi Censuræ cõfessionis fidei ab eodem Illustriss. & Reuerẽdiss Archiepiscopo latinè editę, qua Caluiniana perfidia Gręcorum personata nomine, violatę fidei Gręcis ipsis locupletioribus reclamantibus testibus, conuincitur: talibus sane Orthodoxę fidei perduellibus vere dignam, a vero verę fidei ὑπερμαχητῇ ἀκαταμαχήτῳ assertore, propugnatoreque acerrimo, ad eorum in scribendo eludendam operam compendiario ope-

4

re, summo Catholicę Ecclesię compendio pręclarè contextam. idque testor. Romę Kal Febr. M. DC. XXXII.

D. Vincentius Riccardus Cler. Reg

Imprimatur.

F. Nicolaus Riccardius S.P.A.M. Ordinis Prædicatorum.

Τῷ Μακαριωτάτῳ Πατρὶ, καὶ μόνῳ οἰκουμενικῷ Ἱεράρχῃ

ΟΥΡΒΑΝΩι ΤΩι ΟΓΔΟΩι.

Ἰδού σοι σπαρτίον ἤδη ἔστιν, Μακαριώτατε Πάτερ, Καλβινοξένου ἀπιστίας, Κυριλλονύμφου πανηγυρίας, καὶ κατὰ τῶν Γραικῶν ἀσυμπαθοῦς συκοφαντίας. ἀξίωσις σοι αὐτοῖς συμπεπλέχθαι τὸ ἑλίκωμα τοῦτο σπαρτίον εἰ μηχανοπλόκοις φανῆναι, ἔλυσας εἰς δεσμοὺς καὶ λαβυρινθώδεσι ἀνασειραῖς ἑρμηνευομένων. Ἀλλὰ σύ γε Οὐρβανὲ ποιμενάρχα πάγκοσμιε ταῖς αἱρέσεσι ἀντιμηχανωμένου μηχανῆς ὁ συγκατάδεσμος ἀποκόπτει τῇ μαχαίρᾳ τοῦ Πνεύματος. Ὡς γὰρ πάλαι τὸ σπαρτίον τῆς ἀληθείας Νεστορίου διαρρῆξαι βουλόμενος Κύριλλος ὁ ἀοίδιμος πρὸς Καιλεστῖνον κατέφυγε, ἵνα διὰ ἀποστολικῆς αὐθεντίας τὴν στραγγαλιὰν ἐκτέμῃ· ὡσαύτως διαπαιδεῦσαι ἔδει καὶ τὰς περιπλόκους πλοκὰς τοῦ Κυριλλοφανοῦς κακοπιστίας προμηθείᾳ, ζήλῳ, καὶ αὐθεντίᾳ τῆς ἀποστολικῆς σου ψυχῆς. Εἴθε ἐπιλυθεί-

λυθείσης τῆς συμπλοκῆς μηδὲν πλέον ἕλκει τὸ πρὸ τῶν σπαρτίον, καὶ μὴ πλέον ἕλκεται τὸ δύστηνον, τὸ ξύλον ἐφ' οὗ δέον ἑλκυσθῆναι ἐφελκυσθὲν τοῦ θείου κλήρου μερὶς λογισθείη.

Τῆς ὑμετέρας μακαριότητος δοῦλος

Ὁ ταπεινὸς Ἰωσήφ.

Ἔπλεξε Χριστὸς εἰς ἅμματα σχοινία,
    Καὶ λαβὼν αὐτὰ πρὸς σαγηνεύειν πλέκει.
Ὡς Ἀντίχριστος λυμεὼν αὖ τι πλέκει,
    Καὶ φαῦλος ὅπλα ξίφεσιν εἰς ὅπλα σκέπεις.

ΑΠΟΔΟΚΙΜΑΣΙΑ ΚΑΙ ΚΑΤΑΚΡΙΣΙΣ τῆς ἐπ' ὀνόματι Κυρίλλου Πατριάρχου Κωνσταντινουπόλεως ἐκδοθείσης ὁμολογίας τῆς πίστεως, ἤτοι ἀπιστίας τῶν Καλβι-νιστῶν ἢ Ζωιν-γλῶν,

Καὶ ἡ τῶν ἀναθεματισμῶν παρ' αὐτοῦ τοῦ Κυρίλλου πάλαι ἐκφωνηθέντων Ἀπόῤῥιψις.

ΟΜΟΛΟΓΙΑ.

Κύριλλος Πατριάρχης Κωνσταντινουπόλεως ἐρωτηθεὶς, τίνα ποτὲ δόγματα πρεσβεύει ἡ ἐκκλησία τῶν ἀνατολικῶν, δηλονότι τῶν Γραικῶν· τί τε πιστεύομεν, τί τε φρονοῦμεν περὶ τῆς ὀρθοδόξου πίστεως. Ἐκ προσώπου ξυμπάντων τῶν Χριστιανῶν ἐκτίθεται σύντομον τήνδε ὁμολογίαν, ὡς μαρτύριον Θεῷ καὶ τῇ Καθόλου ἐκκλησίᾳ ἀνυποκρίτως τε καὶ ἀσυνειδήτως.

ΑΠΑΝΤΗΣΙΣ.

Βλέπε τῆς τολμηρᾶς ἐπιχειρήσεως. πῶς τὸ
ἀδελφὸν, καὶ τοῦ τὰ [illegible] αὐτοῦ καὶ
[illegible] ὁ Κύριλλος ἀπο-
κέκτηται πρόσωπον. Εἰ δὲ ἄλλως τῶν ἑτέρως ὑ-
πηχούντων, ἢ τῶν ἀσεβῶς [illegible]
ὄντα, ἀλλ' ἐκεῖνό γε ἐφαρμόζειεν· ἡ μὲν φωνὴ
φωνὴ Ἰακὼβ, αἱ δὲ χεῖρες χεῖρες Ἠσαῦ. Ἀλ-
λὰ τί τὸ πλῆθος, γέγονε ὅτι Κύριλλος Πατὴρ
τῆς ὁμολογίας ταύτης, καὶ τὸ ἐκ τοῦ Πνεῦμα τὸ ἅγιον
δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν [illegible];
Καίτοι Νικηφόρος ὁ προασπιστὴς τῆς περὶ τὴν
ἐκπόρευσιν κακοδοξίας καὶ ὁ τούτου ὑπασπιστὴς
Θεόδωρος τῆς αὐτῆς ἔφασαν [illegible]
τῇ ἐν τῷ [illegible]· Κύριλλος δὲ ὁ [illegible] Πατριάρ-
χης ἐν [illegible] ἀναθεματισμοῖς, [illegible]
[illegible] ἐν [illegible] μετὰ τὴν ὁμολογίαν ἐξε-
πλήρωσε, τῷ δόγματι [illegible] ἀντιφέρεται.
καὶ [illegible] καθάπαξ.

Εἶτα περὶ τῆς πίστεως ἐρωτηθέντα φησὶ τῆς
ἐκκλησίας τῶν Γραικῶν ἀποφήνασθαι. ποίαν
ταύτην [illegible] οὐχ [illegible], τίς γὰρ [illegible]
[illegible] τῶν ἐξ αἰῶνος πώποτε τοσαύτην μα-

ταρ-

τεολογίαν, ὅσῳ ἔνεστιν ἰδεῖν ἐμφερομένων ἀθέσμως ἕνεκα τῆς βλασφήμου ταυτησὶ ὁμολογίας, ἢ πειρατικῶς φαίνεται, ἢ λυγρῶς ἀπτον, ἢ γραφῇ ἀκριβῶς κατὰ τὰς φωνὰς τῶν Συνεφεί-των,

Ἀλλὰ καὶ προσέθηκεν ἐκ προσώπου τοῦ πληρώματος τῆς ἐκκλησίας. Τίς ὁ γράψας, τίς ὁ τολμήσας ἥκων εἰς τὸ ἀκρότατον; Χριστιανοὺς ὄντας καὶ τοῦ Καλβίνου ἀποδείξεις ὡς ἀντίστροφα ἰσοδυναμεῖ· ἢ τοὺς Καλβινιστὰς δίκαιον καλεῖσθαι Χριστιανούς, Ἀθανασίου τοῦ μεγάλου καὶ Βασιλείου βοώντων τοὺς αἱρετικοὺς μηδὲ δεῖν προσκαλεῖν τὴν σεμνοτάτην προσηγορίαν, ἅπερ χαρακτηρίζει ἔργον ἡ δυσσεβὴς αὕτη ὁμολογία, τὰ δόγματα ὄντα τῆς ἀνατολικῆς ἐκκλησίας ἐκ διαμέτρου ἀντιθέτως, οὐχ ὡς ἀνάπτωμα κουφότητος ἑλληνικῆς, ἀλλ' ὡς ἔγκλημα πατραλοίαν καὶ μητραλοίαν τῷ ἀσεβεστάτῃ μιαιφονίᾳ ἐξαπτύουσαν.

ΑΠ-

ΑΡΘΡΟΝ α.

ΑΡΘΡΟΝ β.

Πιστεύομεν θεοδίδακτον εἶναι τὴν θείαν γραφήν, καὶ αἴτιον ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ἕτερόν τινα, ᾗ πίστιν ἀδιστάκτως ὀφείλομεν. Γέγραπται γάρ, Ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ. προσέτι τὸ κῦρος τῆς γραφῆς μεῖζον εἶναι τὸ τῆς ἐκκλησίας. διαφέρει γὰρ παμπόλυ, λαλεῖν τὸ Πνεῦμα τὸ ἅγιον καὶ γλῶσσαν ἀνθρωπίνην. αὕτη μὲν γὰρ καὶ σφάλλεσθαι δύναται ἐξ ἀγνοίας, καὶ ἐξαπατωμένη ἐξαπατᾶν· τὰ θεῖα δὲ λόγια καὶ ἐξαπάτης καὶ πλάνης ἀναίτια, ὡς ἀσφαλίστατα ἀεὶ καὶ τὸ βέβαιον ἔχοντα.

ΚΑΤΑΚΡΙΣΙΣ.

Ταῦτα τὰ Εἰκοσιμάχου λημήματα, οὐχὶ τὰ Γραικῶν. τὸ δὲ οὕτως ἐκλαμβάνειν τοῦ Μακαρίου Πέτρου τὸ ῥητὸν ὡς παρεξηγεῖται ὁ θαυμαστὸς ξυγγραφεὺς, πολλῆς καὶ ἄλλης ἀμαθίας καὶ ἀσεβείας ὑπερβολή. ἔγραφε τῶν Ἀποστόλων ὁ Κορυφαῖος, ἅτε δὴ Ἀπόστολος τῆς περιτομῆς, τοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, καὶ τοῖς λοιποῖς ἰουδαΐζουσιν ἔτι. καὶ γὰρ ἐπιλέγει καὶ ἕως ὁ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν, τουτέστιν ἕως ἐντελῶς καὶ ἀκέραιον τὸν Χριστιανισμὸν ὑποδέξησθε. τοιούτοις οὖν ἐπιστέλλων βεβαιότερον ἔφη τὸν προφητικὸν λόγον, ἐκείνοις δηλαδὴ τοῖς ἔτι ἰουδαΐζουσιν, ἵνα τοῖς Πέτρου λόγοις μὴ δεῖν παραβάλλεσθαι πρὸς τὰ προφητικὰ ἡγουμένοις. ἀλλά γε ἤδη ὁ Κορυφαῖος τοὺς οἰκείους αὐτοῦ λόγους μηδαμῶς ἀπὸ τῶν τοῦ Παύλου ὑποδεεστέρους· οὗ γὰρ ἐπιστολὰς πρὸς τῷ τέλει τῆς δευτέρας ἐπιστολῆς μόνων ἀπὸ τῆς θεοπνεύστου γραφῆς ἀριθμεῖ. ἀλλὰ καὶ αὐτὸς ὁ Παῦλος ἐν τῇ πρὸς Γαλάτας· Ἐάν φησι, καὶ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται

ὑμῖν

ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα.

Ἐκ τῶν τοίνυν τοῦ Πέτρου ῥημάτων οὐκ ὀρθῶς νοηθέντων δηλοῦται, ἀσυγκρίτως ἔχειν τὰ τῆς γραφῆς παρὰ τὰ τῆς ἐκκλησίας ἀποκλειστικῶς τῆς ἱερᾶς γραφῆς ἅπερ γεγράφασιν οἱ Ἀπόστολοι, ἐφ' οἷς ἡ ἐκκλησία τεθεμελίωται. Καὶ οὕτως καθ' αὐτὸ τὸ ἱερώτατον Εὐαγγέλιον συγκραθὲν ταῖς ἐν διαθήκαις τε κανονιζομέναις βιβλίοις, συνεγράφη γὰρ Ἀποστόλοις αὐτοῖς καὶ μαθηταῖς Ἀποστόλων. ἀλλ' οὕτως ἐκφυλλονόημα φησὶν οἱ Γραικοὶ οὐκ ἀνθρώπινον, ἀλλὰ σατανικοῦ φρονήματος ἴδιον.

Πρώτη λοιπὸν ἡ ἀφορμὴ τοῦ δευτέρου ἄρθρου συναίβαινε, τὸ ἐξοστελλειν τὰ δύο ταῦτα καὶ τὰ ἀποστολικὰ ὡς μὴ ἔσω γραφῶν, τῆς γραφῆς ἀποκρύπτειν.

Δεύτερον τὸ διαβεβαιοῦσθαι τὰ τῆς γραφῆς, ἅτε δι' αὐτοῦ τοῦ ἁγίου Πνεύματος λαληθέντα ἔχειν τὸ ἀναμφίλεκτον, τὰ τῆς ἐκκλησίας δὲ ὡς ἀνθρωπίνῃ γλώττῃ χρωμένης ἔχειν συμπεφυρμένον τι σφαλερόν.

Τοῦτο γὰρ ἄλλο οὐδέν, ἢ τὸ ἀδυνατεῖν μάταιον προστρίβειν ταῖς ἐπαγγελίαις τοῦ Χριστοῦ. ἔλεγεν ὁ Σωτήρ. Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι

πα-

πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἑρμηνεύων δὲ ὁ Χρυσόστομος· Οὐ μετ' ἐκείνων, φησί, μόνων ἔσται ἔνθα δή, ἀλλὰ καὶ μετὰ πάντων τῶν μετ' ἐκείνους πιστευόντων. Καὶ ὡς ἑνὶ σώματι διαλέγεται τοῖς πιστοῖς. πάλιν· Ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας. Καὶ πάλιν· Ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα. Καὶ ὁ Χρυσόστομος· Τοῦτο, φησί, δηλοῖ, ὅτι τὸ Πνεῦμα οὐκ ἀφίσταται, [illegible]τέσω.

Εἰ μὲν οὖν οἱ λόγοι τοῦ Χριστοῦ τὸ πιστὸν ἔχουσι παρὰ τοῖς Καλβινισταῖς, οὐκ ἔστιν ὅπως οὐχ ὁμολογήσουσιν, τὸ Πνεῦμα τὸ διὰ τῶν προφητῶν λαλῆσαν, λελαληκέναι διὰ τῆς ἐκκλησίας καὶ νῦν τε λαλεῖν. ἄρα καὶ τῇ αὐτῇ ἐξουσίᾳ, τῇ αὐτῇ αὐθεντίᾳ, τῇ αὐτῇ ἀπλανείᾳ.

Καὶ ἡ τοῖς ἀμφὶ τὸν Καλβῖνον παρεισενηνεγμένη διαφορὰ τὸν Χριστὸν [illegible] ἐξ ἀμφοῖν [illegible] ὃ τί ἂν γένοιτο δυσσεβέστερον, ἢ φρικωδέστερον.

Οὕτω γοῦν ὁ θεσπέσιος Κύριλλος Ἰωάννη

τῷ

τῷ Ἀντιοχείας ἐπιστέλλων ἔγραφε· Καθό-λου δ᾽ οὐ πω σαλευθῆναι πρός τινων ἀνεχόμε-θα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον παρὰ τῶν ἁγίων ἡμῶν πατέρων. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ᾽ αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός.

Τοῦτο τῶν ἀποστολικῶν πατέρων τὸ φρόνη-μα· αὕτη τῶν οἰκουμενικῶν Συνόδων ἡ πίστις. ὁ δὲ ταύτην ἐπιλύων ἐξ ἀπιστίας γίνεται, καὶ τὸ μὲν ὡς ἄπιστον καὶ ἀληθῶς ἀντικείμενον τῇ γραφῇ, τὸ δὲ ὡς ἐπισφαλὲς καὶ ἀθετητικὸν τῇ συμφωνίᾳ τῆς Χριστοῦ ἐκκλησίας. ταῦτα γὰρ ἐκκαίοντες ὕβρεις ἐπιφέρει τῷ Πνεύματι τῷ ἁγίῳ.

Τρίτον ἀσέβημα τοῦ δευτέρου ἄρθρου· Ὅτι συγ-κροτηθεισῶν πολλῶν οἰκουμενικῶν Συνόδων, ἔργον αἰεὶ καθέστηκε, τῆς καθολικῆς ἐκκλη-σίας τοῦτο τὸ περὶ τῆς πίστεως δογματίζειν καὶ ἑρ-μηνεύειν τὰ ἀμφιβαλλόμενα. Εἰ δὲ ὡς φασιν οἱ τοῦ Καλβίνου, ἐνδέχεται ταύτην πλανηθῆναι, πῶς ἀληθὲς ἄρα τὸ ἀποστολικὸν ἐκεῖνο ῥητὸν ἐν τῇ πρὸς Τιμόθεον α΄. Ὅτι στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας ἡ ἐκκλησία. μάτην δὴ ἡ ἁγία ἑβδό-μη σύνοδος ἐπιστομίζουσα τοὺς Εἰκονομάχους τὸ ἐν ταῖς ἄσμασιν ἐκείνου τῇ ἐκκλησίᾳ ἐπεφήμιζεν.

Ολα

Ὅλη καλὴ εἶ, ἡ πλησίον μου, ὅλη καλή, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. καὶ τὸ τοῦ Ἡσαΐου· Ἐπὶ τὰς χεῖράς μου ἐζωγράφησά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διὰ παντός.

Τετάρτη ἀσέβεια· Ὅτι ἡ δυνατὸν τὴν καθολικὴν ἐκκλησίαν ἀποβεβηκέναι τοῦ ἀληθοῦς, ὡς φασὶν οἱ τῆς Καλβίνου συμμορίας, ἐλέγχεται τὸ βέβαιον καὶ ἀψευδὲς ἢ γνήσιον τῶν τῆς ἱερᾶς γραφῆς κανονικῶν μόνων βιβλίων. ἡ γὰρ ἐκεῖνα γνήσια καὶ ἀψευδῆ, ἃ μόνα κεκανόνισται παρὰ τῆς ἐκκλησίας· ταύτην δὲ σφαλῆναι ἐξ ἀγνοίας ἐγχωρεῖ κατὰ τοὺς νέους ζηλωτὰς τῶν Εἰκονομάχων· ἀβέβαιος ἄρα ἡμῖν τῶν ἱερῶν βιβλίων ἡ ἔλεγξις, καὶ ἄδηλον τίνα ποτὲ τυγχάνει τὰ θεόγραφα λόγια. ἴδε οὖν τοῦ ζόφου τῶν Καλβινιζόντων τὰ μηχανήματα, μὴ γένοιτο συνεδρίας τοιαύτης ψυχωλεθρίας τοῦ θεοβλαβοῦς δόγματος κατασκευάζουσι περὶ τὴν ἀποστολικὴν ἐκκλησίαν.

Digitized by G

ΑΡΘΡΟΝ γ.

ΑΡΘΡΟΝ δ.

ΑΡΘΡΟΝ ε.

ΑΡΘΡΟΝ ϛ.

ΑΡΘΡΟΝ ζ.

ΑΡΘΡΟΝ η.

Πιστεύομεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καθέζεσθαι ἐκ δεξιῶν τοῦ πατρὸς αὐτοῦ κἀκεῖ ἐντυγχάνειν ὑπὲρ ἡμῶν καὶ μεταχειριζόμενον μόνον ἔργον [illegible] ἀληθινοῦ καὶ νομίμου ἀρχιερέως καὶ μεσίτου· καὶ μόνον ὁ [illegible] τῶν οἰκείων αὐτοῦ φροντίζων, καὶ προΐστασθαι τῆς ἐκκλησίας, ποικίλαις [illegible] εὐλογίαις αὐτὴν κοσμοῦντα καὶ πληρῶντα [illegible].

ΚΑΤΑΚΡΙΣΙΣ.

ΤΙ δήποτε τὴν ἀπομαρανθεῖσαν τῶν Εἰκονοκλαστῶν φλόγα καθελόμενοι οἱ ὑπὸ τοὺς Καλβινιστὰς ἀποπλανώμενοι; οἱ δὲ ἄριστον αὐτοῖς προκόπτειν ἐπὶ χεῖρον, ἀλλὰ τὸ καταψεύδεσθαι τῆς ἀποστολικῆς ἐκκλησίας ξυμφωνίαν περὶ τῆς πίστεως, συμφωνητικώτατα ἐστὶν ἡ χειρίστη. Τὰ δόγματα τῆς ζ. Συνόδου ὀρθοψύχως αἱ ἀποστολικαὶ καὶ δέχονται καὶ ἀσπάζονται. Ὅθεν δὴ τοὺς ἀσεβεῖς καὶ μισήτους τῶν ἁγίων εἰκόνων ἔστιν ὅπου καὶ ἔτι ἀπεξένωσαν. ὅπου γὰρ αὐτόθεν περιέλαβεν πιστῶν τε καὶ φρονῶν, καὶ αὖθις ἐξεμυκήσατε τὴν ἐκκλησίαν τῆς Εἰκονομαχικῆς λύττης, ὑπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ. Συνόδου τηρεῖν ἐδιδάχθησαν. Ὅλως δὲ ἕνα οἴδασιν οἱ Γραικοὶ μεσίτην Θεοῦ καὶ ἀνθρώπων, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· μεσιτεύοντας δὲ ὡς Θεοῦ φίλους, καὶ ὑπὲρ Χριστοῦ ἀγωνισαμένους ἡμῖν τἀγαθά, τοὺς ἁγίους οἴδασι πάντας, τῆς οἰκουμενικῆς ἐκκλησίας τὰ νόμιμα φυλάττοντες, καὶ τῇ ἑβδόμῃ τὴν σύνοδον κατ' ἴχνος ἑπόμενοι. καὶ μάρτυς ἡ ἐσημείωσα

τῶν Γραικῶν ἐν ταῖς ἱεραῖς ᾠδαῖς καὶ ψαλμῳδίαις ἀκολουθία· τῆς ἀειπαρθένου γὰρ δεσποίνης τὸ πανσεπτὸν ὄνομα συνεχῶς ὑμνεῖ τε καὶ ἱκεσίαις προσφέρεσιν. Καὶ αἱ καθ᾽ ἑκάστην μνῆμαι τῶν ἁγίων τελοῦνται διὰ τῆς ἐκείνων ἐπικουρίας ἁμαρτιῶν ἄφεσιν, δωρημάτων χορηγίαν, κινδύνων ἀνάρρυσιν, σωτηρίας μέθεξιν αἰτοῦνται. Καὶ πάντων ὅθεν μέγα χαλκέθειαν τοὺς Γραικούς, ὅτι ἔχειν ἅμα τοῖς Καλβίνου ὀπαδοῖς φρονεῖν.

ΑΡΘΡΟΝ θ.

Πιστεύομεν χωρὶς πίστεως μηδένα σωθῆναι. Καλοῦμεν δὲ πίστιν ἐκείνην, ἥτις ἐστὶν ἐν Χριστῷ Ἰησοῦ δικαιοῦσα, ἣν ἀπέτεκεν ὁ βίος καὶ ὁ θάνατος τοῦ δεσπότου Χριστοῦ, κηρύττει τε τὸ Εὐαγγέλιον, ἧς δὲ χωρὶς ἀδύνατον εὐαρεστῆσαι Θεῷ.

ΚΑ-

ΚΑΤΑΚΡΙΣΙΣ.

Ἀλλ' ἡμῖν ὁ μέγας Ἀπόστολος ἄλλην ὑποτύπωσιν ὑγιαινόντων λόγων παρέδωκε, Ῥωμαίοις γράφων. Οὐκ ἐγράφη δὲ δι' αὐτὸν (τὸν Ἀβραάμ) μόνον, ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν· ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν. δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχωμεν πρὸς τὸν Θεόν.

Ὅπερ ἐπεξηγούμενος ὁ Χρυσόστομος· ἐπειδὴ, φησὶ, πολλὰ περὶ πίστεως διαλεχθεὶς ὁ, καὶ τὴν διὰ τῶν ἔργων δικαιοσύνην αὐτῆς προέθηκεν, ἵνα μή τις νομίσῃ ῥᾳθυμίας ὑπόθεσιν εἶναι τὸ λεγόμενον φησὶν, εἰρήνην ἔχωμεν, τουτέστι μηκέτι ἁμαρτάνωμεν, μηδὲ πρὸς τὰ πρότερα ἐπανατρέχωμεν· τοῦτο γάρ ἐστι πόλεμον ἔχειν πρὸς τὸν Θεόν. Ἡ πίστις ἄρα κατὰ τὸν Ἀπόστολον δικαιοῖ μετὰ ἀποστρεφομένης τῆς ἁμαρτίας· Καθότι ἐν Χριστῷ Ἰησοῦ οὐδὲν ἰσχύει, εἰ μὴ πίστις δι' ἀγάπης ἐνεργουμένη, ὡς μεμαθήκα-

Digitized by Goo

μὴ ὡς ὁ αὐτὸς Ἀπόστολος ἀπεφήνατο ἐν τῇ πρὸς Γαλάτας.

Οὐκ ἄρα δικαιοῖ ἐν Χριστῷ ἡ πίστις, ὡς φασιν ἀνερευνῶντες οἱ Καλβινικοί, ἀλλ' ἐν ἡμῖν ἡ πίστις δικαιοῖ ἡ διὰ Χριστοῦ δι' ἀγάπης ἐνεργουμένη. ἕπονται δὲ οἱ Γραικοὶ τῇ διδασκαλίᾳ τοῦ Χρυσοστόμου, πανταχοῦ τῶν μελιρρύτων αὐτοῦ λόγων τοῦτο παραδιδόντος· οἷον ἔνθα τὸ ἀποστολικὸν ἐξηγεῖται τῆς πρὸς Τιμόθεον α. Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ. Οὐχ ἁπλῶς, φησίν, εἶπεν ἐν εὐσεβείᾳ· ἀλλὰ μετὰ προσθήκης τοῦ, πάσῃ· τοῦτο γὰρ εἰπὼν ἔδειξεν ὅτι τὴν ἀπὸ τῶν δογμάτων μόνον ἀπαιτεῖ πολιτείαν, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ βίου ἀσφαλιζομένην· καὶ γὰρ ἐν ἀμφοτέροις τὴν εὐσέβειαν δεῖ ζητεῖν. καὶ ὡς ἐξηγούμενος τὸ ις. κατὰ Ματθαῖον· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

Εἰσί, φησιν, οἱ τῷ [illegible] ἀκολουθοῦντες, καὶ διδοῦντες τὰς ψυχὰς αὐτῶν ἐκδιδόασιν· ἀλλ' ἡμᾶς δεῖ τὸν Χριστοῦ διηνεκῶς δεῖ περιφέρειν τὸν θάνατον. οὕτω διὰ πίστεως γίνεσθαι τὴν δικαίωσιν ἐξηγοῦνται οἱ διδάσκαλοι τῆς

ἀνα-

καταβολῆς, ἢ τῇ ἐπιθεωρουμένῃ τοῦ Χριστοῦ δικαιοσύνῃ, ἀλλὰ τῇ ἐνούσῃ καὶ ἐνυπαρχούσῃ ἡμῖν, εἰ τὸν ἡμέτερον ἀξιοῦμεν σωθῆναι, καὶ τοῦ Χριστοῦ δι' ἔργων ἀπολαυθείημεν.

ΑΡΘΡΟΝ ι.

Πιστεύομεν τὴν ἐκκλησίαν, ἥτις καθολικὴ λέγεται, συμπεριλαμβάνειν ἅπαντας τοὺς ἐν Χριστῷ πιστούς, τούς τε ἐκδημήσαντας, καὶ ἐν τῇ ἄνω πατρίδι ὄντας, τούς τε ἀκμὴν ἐν τῷ παρόντι βίῳ [illegible] ἐνδημοῦντας. ἧς τινος ἐκκλησίας ἐπεὶ ὁ θνητὸς ἄνθρωπος οὐ δύναται κεφαλὴ εἶναι, αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κεφαλὴ μόνος ἐστὶ καὶ αὐτὸς ὅλης τῆς ἐκκλησιαστικῆς κυβερνήσεως μεταχειρίζεται τὸ πηδάλιον. ἐπειδὴ δὲ ἐν τῷ τῇδε παρόντι βίῳ ὑπάρχουσιν αἱ μερικαὶ ἐκκλησίαι, καὶ ἑκάστη ἔχει τὸν αὐτῆς προεστῶτα, κυρίως μὲν οὐδεὶς δύναται αὐτὸν κεφαλὴν τῆς μερικῆς ἐκκλησίας ὀνομάζειν, ἀλλὰ καταχρηστικῶς. Καὶ τοῦτο δὲ, ὅτι πρῶτός ἐστιν ἐξαίρετον ἐν αὐτῇ.

ΚΑΤΑΚΡΙΣΙΣ.

Τρεῖς πανουργοτάτας μηχανουργίας ἐπινεύουσι τουτὶ τὸ ἄρθρον.

α. Ὅτι ἐκ τῆς μεταλαχούσης πίστεως, ἤδη τὰ οὐρανοπολίτας γενομένους, συνάμα δὲ καὶ τοὺς ἔτι ζῶντας ἐπὶ γῆς συμπεριλαμβάνει ἡ λεγομένη καθολικὴ ἐκκλησία.

β. Ὅτι ἐκ τοῦ προειρημένου ἀκόλουθον, ὅτι οὐδ' [illegible] ὅλης τῆς ἐκκλησίας θνητὸς ἄνθρωπος, προΐστασθαι ὡς κεφαλὴν, ἀλλὰ τὸν Χριστὸν μόνον.

γ. Ὅτι ἐκ τούτου ἀκόλουθον, ὅτι αἱ μερικαὶ ἐκκλησίαι τὰς κεφαλὰς μὴ κυρίως εἶναι κεφαλὰς, ἀλλ' ἐξοχώτερα μέλη.

Οὕτως οἱ περὶ Καλβῖνον τοῖς προειρημένοις, ὡς πανουργίας ἐκληφθεῖσι χρώμενοι θεμελίοις οἰκοδομοῦσιν ἀθεμελίωτα.

Ἡ μὲν οὖν πρώτη περιλαμβάνει τοιαύτης γέμει πανουργίας, ὅτι γενικωτέραν σημασίαν τῆς ἐκκλησίας δήλως περιλαμβάνει, καὶ διὰ τούτου πολεμεῖ καὶ ταῖς τοῦ Σωτῆρος ἡμῶν ἀποφάσεσιν. δῆλον γάρ, τὴν καθολικὴν ἐκ-

κλη-

κλησίαν, ἣ κεφαλὴν μίαν ἱερατικὴν ἐπέστησεν ὁ Χριστὸς, μόνον δὲ ἐκεῖνον, περὶ ἧς αὐτὸς εἴρηκεν· Καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ ὡς ἀρνία καὶ πρόβατα παρέδωκεν τῷ Πέτρῳ ποιμαίνεσθαι. Τούτων οὖν ὄντων γνωρισμάτων τῆς ἐκκλησίας, τοῦ ἐπιστηρίζεσθαι ὡς θεμελίῳ τῷ Πέτρῳ, τοῦ παντὸς σωματικοῦ σχήματος ἐπικρατεστέραν εἶναι, τοῦ ποιμαντάρχην αὐτῆς εἶναι τὸν Πέτρον ὡς τοποτηρητὴν τοῦ Χριστοῦ, τίνι λόγῳ οἱ Καλβινόφρονες κοινωνοῦσι ταύτῃ τῆς ἀπολαβοῦσι τὴν αὐτοπεζίδα, πιστοὺς γὰρ ἐκείνους ὀνομάζειν ἀσύμφορον, τοὺς οὐκέτι δι' ἐσόπτρου ἐν αἰνίγματι βλέποντας, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον· εἴ τινες οὖν ἀγῶνας ὑπέστησαν, ἔτι ζῶσιν ὑπὸ ποιμένι τῷ Πέτρῳ ἢ τοῖς ἐκείνου διαδόχοις. Πῶς οὖν ταύτῃ συμφωνοῦσιν οἱ Καλβινισταὶ πολλὴν ἔχοντες πρὸς ἄλληλα τὴν διαφοράν, διαφέρει γὰρ ὡς κίνησις τῆς πρὸς ὃ ἡ κίνησις, ἡ [illegible] ἐκδημία τῆς εἴσω διαγωγῆς, ὡς [illegible] ἀκρότης τῆς [illegible] ζωῆς· καὶ τὸ αἴτιον τῆς τοιαύτης συγχύσεως εὔδηλον. πάντας [illegible] τὸ πρωτεῖον τοῦ Πέ-

ξου. Ὁ δὲ ἱερὸς Χρυσόστομος ἐν τῷ λόγῳ εἰς τὸ, Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου· τῆς ἐκκλησίας τὸ πολυώνυμον καὶ τὴν ἀγάπην ἑρμηνεύων. Ταύτης, φησί, πόρνης οὔσης ὁ Θεὸς ἐπεθύμησεν, ἵνα τὴν πόρνην παρθένον ἐργάσηται. Καὶ οὐκ αἰδεῖται αὐτὴν ἄνω, οὐ γὰρ ἐβούλετο πόρνην εἰς τὸν οὐρανὸν ἀνάγειν, ἀλλὰ καταβαίνει αὐτὸς κάτω. Ἡ τοίνυν καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία· ἡ πρότερον πόρνη, ἄρτι γεγονυῖα παρθένος, οὐκ ἐν τῷ οὐρανῷ, ἀλλ' ἐπὶ γῆς οὖσα· καὶ καθολικὴ κυρίως καλεῖται, ὅτι καὶ τοπικῶς καὶ χρονικῶς τὸ καθόλου ἔχει, διαπλωμένη καθ' ὅλας καὶ τόπων καὶ χρόνων διαφορὰς, καὶ διὰ πίστεως περιπατεῖ, καὶ εἰς ἔτι ξένους ὁ δεσποτικῷ(?), καὶ πολυμερεῖ διακαρτερεῖ(?). Ἡ δὲ ἄνω ἐκκλησία τῶν πρωτοτόκων, ἡ Θεοῦ ζῶντος πόλις μία οὐρανίου Ἱερουσαλὴμ συγκροτοῦσα(?), οὐ τόπων, οὐ χρόνων διαφοραῖς περικεκλεισμένη(?), οὐ μάχαις ταραττομένη, ἀλλὰ θριαμβευτικῇ πανηγύρει εὐφραινομένη.

Δεύτερον περιπλοκή(?), ὅτι οὐκ ἔστι θνητὸς ἄνθρωπος ὁ κεφαλὴ τῆς [illegible] ταύτης ἐκκλησίας. καὶ τίς σὺ μὴ ξυνίδοις τὴν ἐμφανῆ διαφοράν, τῆς γὰρ [illegible] ταυτησὶ ἐκκλη-

σίας

σίας ἐξ ἀθανάτου μοίρας καὶ θνητῆς ἐκαλ προ-
σωπον ἄνθρωπος θνητὸς φαμὲν ὑπὲρ ἡμῶν, ἀλλ' ὁ
θαυμάσιος οὐχ οὕτως ἔχει. ἐπεὶ θνητοαθανάτῳ
ἐκκλησίᾳ κεφάλαιον ἐνομοθέτησεν ὁ Σωτήρ.
αὐτίκα γὰρ τὴν δευτέραν πρᾶξιν τῆς ἁγίας
ἕκτης οἰκουμενικῆς συνόδου Φιλιππικὸς προσε-
βάτης τῆς ἀποστολικῆς καθέδρας συνανασμο-
νιζούσης τῆς ἱερᾶς συνόδου, τὸν τιμιώτατον
Πέτρον Καναφέον θνητὸν ὄντα, μάλα σημειῶν
ἀναμεστὸ κεφαλαίου ἁγίου τῶν ἐπισκόπων ἀνα-
ξιωσάντων· παρὰ πλείοσιν ἡ ἁγία τετάρτη σύ-
νοδος τὸν ἐν ἁγίοις Πέτρον Λυκων τὸν μέγαν
ἀπεγίνωσκε θνητὸν ἄνθρωπον, ἀλλ' ὡς οὐδὲ ἐν
γεγραμ[illegible] πρὸς ἐκεῖνον, κεφαλαίου καθωμολόγησε,
καὶ συμμαθητὴς τοῖς ἐπαναλαβοῦσι τὴν σεβασ-
μιωτάτην προσηγορίαν. Τίς δ' οὐ καταπλα-
μάσειε, πολλάκις ἐν τῆς ἀνατολῆς ὅλου, ἀπὸ τού-
τοις τῶν ἐπισημαντικῶν χρήσεων φωνῆς, κορυφῆς,
ἀνεξάντλως, πολυθρυλλήτου, καὶ παρὰ πλείστοις μο-
ναχοῖς λέξεων τῶν ἄνω λαμπρῶς ἀναλογου-
ξον [illegible]

Γέγονέ τις Ἀκεφάλων αἵρεσις, ὑπόμονα τῶν
Μονοφυσιτῶν, ἐν τῷ χρόνῳ προσηγορίας ἐπι-
σκοπικῆς ὅτι προσαγορεύουσι. ἡ γοῦν Λυ-
φα-

φαλαὶ αἱ τοιαῦται, τῶν ἐκκλησιῶν ἄρα αἱ καθηγούμεναι κεφαλαὶ ἐστιν ὀνομασθεῖεν. Καὶ πῶς ἐστὶ σώματος κεφαλὴ κατὰ τὴν παρμφερομένην χρῆσιν, ἀνάγκη τοῦ καθόλου σώματος τῆς ἐκκλησίας μίαν εἶναι τὴν ἀνωτάτω κεφαλὴν, καθάπερ τῶν μερικῶν τῆς ἐκκλησίας σωμάτων μερικὰς ὁμολογοῦντες τὰς κεφαλάς. ἄλλως γὰρ οὐδὲ ἔχει λέγειν, ἐν ταῖς κατὰ μέρος ἐκκλησίαις τὸ ἀκέφαλον εἶναι ἀπεμφαῖνον καὶ τερατῶδες, ἐν τῇ καθόλου δὲ μηδαμῶς. ἀλλὰ τίς οὐ μὴ μέμφοιτο, τοῦ αὐτοῦ ἅπαξ καὶ ταῦτα βοῶντος τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους α. πολλὰ μὲν τὰ μέλη, ἓν δὲ τὸ σῶμα, ἔχον κεφαλὴν καὶ ὀφθαλμοὺς καὶ χεῖρας καὶ πόδας;

Ἡ τρίτη πρότασις ἐξ ὧν προκαλέσθη ἀναιρεῖται· Οὔ φησιν τοὺς ἐπισκόπους εἶναι κυρίως τῶν ἐκκλησιῶν κεφαλὰς, ἀλλὰ καταχρηστικῶς. τί βούλονται τοῖς Καλβινισταῖς τὸ κυρίως καὶ καταχρηστικῶς, ἀφ' οὗ δὲ οἱ ἐπίσκοποι κυρίως μὲν οὐκ αὖ εἶεν κεφαλαί, εἰσὶ δὲ κυρίως μέρη ἐξαίρετα, εἴτε κεφαλὰς εἴποις, εἴτε μέλη ἐξαίρετα· τρόπῳ ἀναλογίας ἑκάτερον λέγεται· ἐρωτητέον ἢ καὶ ἄμφω κυρίως, ἢ καὶ ἄμφω καταχρηστικῶς. Ἀλλὰ τίνι αὖ τοῦτο προσγένοιτο, Κύ-

ριλ-

ἄλλον εἶναι τῶν τοιούτων παραδειγμάτων συγγραφέα, μὴ κυρίως εἶναι κεφαλήν τινα κατὰ μέρος ἐπισκόπους εἶπεν Κύριλλος, ὃς πάλαι μὲν ἐν Ἀλεξανδρείᾳ πατριαρχεύων ἐπέγραφεν ἑαυτὸν Πάπαν καὶ Πατριάρχην καὶ κριτὴν τῆς οἰκουμένης, νῦν δὲ ἐν Κωνσταντινουπόλει τῷ φαυλοτάτῳ τῶν Νεστοριανῶν κατακολουθῶν ἀποδόγματι ἐπιτιμάζεται οἰκουμενικός, καὶ τῆς εὐαγγελικῆς παραδόσεως καταφρονῶν, καὶ παρ᾿ οὐδὲν τιθέμενος τὸ ἀρχαῖον ἔθος τῶν πρὸ αὐτοῦ πάλαι ἀοιδίμων Πατριαρχῶν, πολλοῖς τισὶν ἀθλιωτάτοις γέμει ἡ καινοτομία τῶν Καλβινιστῶν. Ἐν ἐκείνῳ γὰρ τῆς ἀποστολικῆς ἀναλογίας τῷ χωρίῳ διδάσκει ὁ Παῦλος καὶ τὴν κεφαλὴν ἀποθαυμάζων· Καὶ γὰρ, φησίν, ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν. Οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. Ἐκ δὲ τούτου σαφῶς ἔστι κατιδεῖν, τὴν τοῦ φυσικοῦ σώματος εἰκόνα πρὸς τὸ μυστικὸν ἐπὶ τούτου συντείνειν, ὥστε ὃν τρόπον ἔχει σῶμα πρὸς σῶμα, καὶ μέλη πρὸς μέλη, οὕτως ἀνάλογον ἐν τῇ ἐκκλησίᾳ τὸν μὲν ὀφθαλμὸν εἶναι, τὸν δὲ χεῖρα, τὸν δὲ πόδα, τὸν δὲ κε-

φαλὴν

φαλὴν τοῦ καὶ μέρους σώματος μερικὴν τῆς κα-
θόλου καθολικήν. οὐδὲ γὰρ ἀνάλογον ἐκ τῆς ἀ-
ποστολικῆς διδασκαλίας, ἐν τῷ μυστικῷ σώ-
ματι τοὺς ὀφθαλμούς, τὰς χεῖρας, καὶ τοὺς
πόδας λέγεσθαι καὶ κεφαλὴν ἔχειν, ἐν φύσει τῆς
ἀναλογίας ἡ δύναμις, τὴν κεφαλὴν δὲ ἀκύ-
ρως καὶ καταχρηστικῶς λέγεσθαι· λεκτέον δὲ καὶ
αὐτῆ κεφαλῆς ἐξαίρετον μέρος· ὅπερ γε τὸ
ἐξαίρετον μέλος ἢ ταυτὸν τῇ κεφαλῇ, ἢ μὴ
ταυτὸ ὄντος, ἐντεῦθεν οὐκ ὀρθῶς ἀξιοῦσι τῷ Ἀπο-
στόλῳ κεφαλὴν ὅλως ἑνῶσαι τῷ μυστικῷ σώμα-
τι. Τρίτην οὖν ἐλέγχει τὸ ἄρθρον τοῦτο δυσ-
σέβειαν. πρῶτον μὲν γὰρ πανούργως συγχέει
τὰς ἱεραρχίας, τήν τε ἱερατικὴν καὶ τὴν ἐκκλη-
σιαστικὴν, ἐξ ἐναντίας τῷ Ἀρεοπαγίτῃ. δεύ-
τερον ἀναιρεῖ τὸ ἑνιαῖον τοῦ μυστικοῦ σώματος
τῆς ἐκκλησίας ὑπὸ μίαν κεφαλήν. τρίτον ἀκε-
φάλους τίθεται τὰ καὶ μέρους ἐκκλησίας. δι' ὧν
οἱ Καλβινισταὶ τὴν ἐκκλησιαστικὴν ξύμπασαν
ἱεραρχίαν ἐκ βάθρων ἀναμοχλεύουσι.

ΑΡ-

ΑΡΘΡΟΝ ια.

Πιστεύομεν τῆς Καθολικῆς ἐκκλησίας μέλη εἶναι τοὺς εἰς τὴν αἰώνιον ζωὴν ἐκλελεγμένους ἁγίους. Τούτων δὲ τῆς κοινωνίας ἀποκλείεσθαι τοὺς ὑποκριτάς. εἰ καὶ ἀναμεμιγμένοι τυγχάνειν ἐν ταῖς κατὰ μέρος ἐκκλησίαις πρὸς σῖτον ἄχυρα.

ΚΑΤΑΚΡΙΣΙΣ.

Ἐπεὶ ἂν μυθολογοῦσιν οἱ τοῦ Καλβίνου θιασῶται οὐδὲν εἰπεῖν, τὸν Ἰούδαν ἀπὸ τοῦ χοροῦ τῶν ἁγίων ἀποκλείουσι, μηδὲ τοῦ χοροῦ τῶν Ἀποστόλων ἕνα γενέσθαι, καὶ τὸν παραβάτην Ἰουλιανόν, ὅτι τῷ ἀποβλήτῳ ὑπάρχει Χριστιανὸν οὐδέποτε χρηματίσαι. καὶ πόθεν οἱ δείλαιοι τὰ τοιαῦτα συντάσσουσι δυσφημήματα; Τοῦτ᾽ ἄρα βούλονται αὐτοῖς ἡ δημαρχία τῶν ἐπὶ γῆς καὶ τῶν ἐπουρανίων πιστῶν. ἐπειδὴ αὐτοῖς ἡ ἐκκλησία ταύτην ἐνέτυχε ἀρχήν, ὅτις οὐ παραδέχεται εἰς μέλη τῆς ἐκκλησίας,

ἀλλ᾽

ἀλλ' ἢ μόνον τοὺς ὁσίους. ὁ δὲ Σωτὴρ οὐχ οὕτω νε-
νομοθέτηκεν, ἀλλὰ πολλοὺς ἐπεσφραγίσατο πολ-
λούς, ὀλίγους δὲ ἐκλεκτούς, εἰπεῖν ἐνίκησε.
καὶ τὴν ἐκκλησίαν [illegible] ἡμῶν τὸ κατὰ [illegible]
ἐδήλωσεν. πῶς δὲ αἱ Γραφαί, αἳ δὴ
σύμφωνοι σφίσιν αὐτοῖς ἀρχοῦσι τῷ Καλ-
βίνῳ, καὶ τῆς ἐκκλησίας τῶν μελαΐνοντας ἐκ-
βάλλουσι, ἐν ταῖς καθ' ἑκάστην ἱκετηρίαις τῶν
ἡμαρτημένων αἰτοῦνται τὴν ἄφεσιν;

Πῶς δὲ οἱ θεσπέσιοι πατέρες οἱ ἀποστολικοὶ
τοὺς εἰς τὰ μείζω ὀλισθήσαντας πταίσματα τῆς
ἐκκλησίας οὐκ ἀπήλαυνον, ἅτε μὴ ἁγίους, ἀλ-
λὰ τούτοις αὐτοῖς ἀπονέμοντες μετανοίας τρό-
πους καὶ τῆς μετανοίας ἀξίως τὸ ἱκανὸν
ἀποδιδοῦντας, παρακαλοῦν [illegible] τῶν ἁγίων ἡ
σωτήριος οἰκονομία τῆς τῶν Καλβινοφρονούν-
των ἀπολογίας ἐπιστομίζει αὐτῆς, πρό-
τον μὲν, ἄγνωστον τῷ παντελῶς τὴν ἐκκλη-
σίαν· ὥσπερ ἄδηλον, τίνες ἄρα εἰσὶν οἱ μέλ-
λοντες συμβασιλεῦσαι τῷ Χριστῷ.

Ἔπειτα δ' αὐτίκα, τοὺς κατὰ τὸν παρόντα
ποτὲ τὸν βίον διαγωγὴν θεοσεβῶς ζῶντας,
μὴ ὄντας δὲ γεγραμμένους ἐν τῇ βίβλῳ τῆς
ζωῆς, τούτους ἐν τῷ μεταξὺ ἁγίους ὄντας μη-

δα-

φανερῶς εἶναι μέλη τῆς ἐκκλησίας.

Τρίτον, τοὺς ποτὲ μὲν ἁμαρτάνοντας, ποτὲ δὲ διὰ μετανοίας ἐπιστρεφομένους, εἶναι τοὺς αὐτοὺς ποτὲ μὲν ὡς ἁγίους μέλη τῆς ἐκκλησίας, ποτὲ δὲ ὡς μὴ ἁγίους οὐδὲ μέλη τῆς ἐκκλησίας.

Κρινέσθω δὴ, ὃ προστεθείκασιν· εἶναι καὶ ἀναμεμιγμένα τυγχάνειν ἐν ταῖς κατὰ μέρος ἐκκλησίαις τὸν σῖτον καὶ ἄχυρα· πολλὴν μέντοι ἐναντιολογίαν κατηγορεῖ. ἐκ γὰρ τοῦ κατὰ μέρος εἶναι καὶ τὴν κατὰ μέρος ἀχύρων ἢ κατὰ μέρος συνίστησιν ἐκκλησίαν. Καὶ τοιοῦτον κατὰ μέρος ἐκκλησιῶν ἡ καθόλου ἐκκλησία. Ἀληθὲς ἄρα, ἐξ ἀχύρων καὶ σίτου ἅμα τὴν καθόλου ἐκκλησίαν, κἀντεῦθεν καὶ δικαίους καὶ μὴ δικαίους Χριστιανοὺς εἶναι μίαν ἐκκλησίαν.

Μάχεται γοῦν, ὥσπερ ἔφθημεν εἰπόντες, τῇ διαιρετικῇ ὑποφάσει τὸ ἄρθρον τοῦτο. τὸ γὰρ κλητοὺς εἶναι πολλοὺς, ὀλίγους δὲ ἐκλεκτοὺς, τοιοῦτόν ἐστι κυρίως τὸ λέγειν· πολλοὺς μὲν εἶναι ἐν τῷ ἀριθμῷ τῶν κλητῶν· κλητοὶ δὲ ὑπὸ τοῦ καλεῖσθαι, καὶ ὑπὸ τοῦ καλεῖν ἡ ἐκκλησία· ὀλίγους δὲ τῶν κλητῶν ἐκλεκτούς. οὐ μόνοι γοῦν οἱ ἐκλεκτοὶ, ἀλλ' οἱ κλητοὶ πάντες συγκατα-

λογοῦ-

λεγῶσι τὴν ἐκκλησίαν, ὥσπερ καὶ Χρυσόστομος ἐξηγεῖται. Καὶ λίαν ἐστὶ θαυμάσαι τῆς αἱρετικῆς θρασύτητος κατεσπευσμένης καὶ τῆς ἀναστατικῆς ἐνστάσεως.

Ἀλλὰ κἀκεῖνο θαυμαστόν, τίνι λόγῳ τὸ ἀριθμὸν μόνης τοὺς ὑποκριτὰς ἐκ παντὸς γένους τῶν παμπόλλων ἀθλίων τοῦ πληρώματος τῆς ἐκκλησίας. εἰ γὰρ τρόπον ἐγχωρεῖ συζευγμένους τῆς κ... πλημμελήμασι παντοίοις ὀνομάζεσθαι τὸν Χριστιανόν, ὥσπερ δὴ καὶ τῇ ὑποκρίσει τῆς ἀγνωσίας. εἰ δὲ περὶ τῆς ...μένων λέγει τὴν πίστιν, ἐνθυμηθῆσαν οἱ Καλβινισταί, μὴ τούτοις μόνον, ἀλλὰ καὶ ἑτέροις ἀπίστους ἔξω ὄντας τοῦ περιβόλου τῆς ἐκκλησίας.

ΑΡΘΡΟΝ ιβ.

Πιστεύομεν τῷ παναγίῳ Πνεύματι ἐν τῷ ὁδῷ τοῦ βίου καθαγιάζεσθαι καὶ διδάσκεσθαι τὴν ἐκκλησίαν· αὐτὸ γάρ ἐστιν ὁ ἀληθὴς παράκλητος, ὃν ὁ Χριστὸς πέμπει παρὰ τοῦ Πατρὸς, ἵνα διδάσκῃ τὴν ἀλήθειαν, καὶ ἀποσκεδάζῃ τὸ σκότος ἀπὸ τῆς διανοίας τῶν πιστῶν. πεπείσμεθα γὰρ τὴν ἐν τῷ βίῳ τούτῳ ἐκκλησίαν δύνασθαι πλανηθῆναι, τὸ ψεῦδος ἀντὶ τοῦ ἀληθοῦς αἱρουμένην· ἐξ ὧν ψευδῶν ἡμᾶς μόνον τοῦ παναγίου Πνεύματος ἡ ἔλλαμψις καὶ διδασκαλία, οὐκ ἀνθρώπων θνητῶν, ἀπαλλάττει. Καὶ εἰ καὶ τοῦτο δι' ἐργασίας τῶν ὑπηρετούντων τῇ ἐκκλησίᾳ δυνατὸν γίγνεσθαι.

ΚΑΤΑΚΡΙΣΙΣ.

Πῶς οὐκ ἀσύμφωνα τὰ δύο ταῦτα, διδάσκεσθαι τὴν ἐκκλησίαν ὑπὸ τοῦ Πνεύματος, καὶ μηδαμῶς εἶναι ἀμφίβολον δύνασθαι τὰ ἀληθῆ ἀποβαλεῖν ἀληθεύειν; καὶ πῶς ἔστι ῥύεσθαι τῆς πλάνης ἡμᾶς μόνον τῇ τοῦ Πνεύματος ἐλλάμψει, ἢ ῥύεσθαι ἡμᾶς τῇ τῶν διακονούντων ὑπηρεσίᾳ; τίς ποτ' οὖν ὢν ἢ τῆς ἐκκλησίας μέλος, καὶ τίς, ὡς φασιν οἱ Καλβινισταί, δύναται ἐγγενέσθαι τῇ ἐκκλησίᾳ πλάνης ἀνώτερος; οὐδὲ τίνος γὰρ οὐκ ἄπαυστα πληθύοντες, περὶ τούτων ἐμοὶ ἀκούσασθαι τὸ ἀπλανὲς διδασκόμενοι παρὰ τοῦ Πνεύματος;

Ὑμεῖς ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους· ἔγραφε τοῖς Κορινθίοις ὁ Ἀπόστολος. ὥσπερ σῶμα Χριστοῦ ἡ ἐκκλησία, πλανηθῆναι ταύτην παντάπασιν ἀδύνατον. τί γὰρ ἄλλο τι τοῦ σώματος πλανητικόν, ἢ τὸ πλανητικὸν τοῦ ὅλου, καὶ αὐτοῦ γε τοῦ Χριστοῦ, ὥσπερ ἡ προσκόπτουσα τοῦ τυφλοῦ τὸ σῶμα, προσκόπτων ἐστὶν ὅλος ὁ τυφλὸς ἄνθρωπος. τὸ δὲ τὴν ἐκκλησίαν τοῦ Θεοῦ δύνασθαι τῆς ἀληθείας ἐκπίπτειν τῷ κατὰ Χριστοῦ

τοῦ δυσσεβεστάτου Ἀρείου, Νεστορίου τοῦ ἰουδαιοφρονήσαντος καὶ τῶν καθολικωτέρων Εἰκονομάχων βλασφημίας ἐπὶ πάλαι ἔσβεσε, ἐπὶ σε τῶν ἄδου μυχῶν πάλιν εἰς φῶς ἀνελκύσαι ἡ τοῦ Καλβίνου ἀθυρόστομία.

Ἀλλὰ πρὶν ἢ συντυχεῖν τῆς ἐκκλησίας παραδώσομαι Ἀποστόλοις σε τοῦ συναχθέντι παρ᾽ αὐτῶν συμβόλου. ὁ δ᾽ οὖν περὶ τῆς ἁγίας καθολικῆς συνόδου τῇ β. καὶ Ἀρμενίων ἐπιστολῇ διαμαρτύρεται ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, ἔτι ὁ μέγας μάρτυς Βασίλειος ἐν τῷ κζ. κεφαλαίῳ τῶν περὶ τοῦ ἁγίου Πνεύματος· ταῦτα περὶ τῆς ἐκκλησίας εἰσὶν ἃ παραδεδώκασιν ἁγίαν ἐκκλησίαν ἀποστολικήν.

Ὅπερ μὲν ἐπὶ τὸ ἐξηγήσασθαι ἡ δευτέρα οἰκουμενικὴ σύνοδος οὕτως ἐξέθετο· Μίαν ἁγίαν, καθολικήν, καὶ ἀποστολικὴν ἐκκλησίαν. τὴν οὖν ὅρα συμφώνως τῇ ἀποστολικῇ λέξει ὅτι ταῖς ἐπιφερομέναις ἔχομεν σύνθεσιν, ἁγίαν κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν. εἰ γὰρ ἡ ἐκκλησία μὲν ἁγία, συμπεριλαμβάνει δὲ οὐ μόνον τὴν κοινωνίαν τῶν ἁγίων, ἀλλὰ καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· δῆλον ὡς τὸ ἀκεραιότης καὶ καθαρὸν τῆς πίστεως δίδωσι κα-

θολικὴν τῇ ἐκκλησίᾳ τὴν ἐξ αὐτοῦ, αὐτὸ ἀ-
μειμάτων τῷ βίῳ, καθότι ἄφεσις ἁμαρτιῶν τῇ
ἐκκλησίᾳ ἐμπολιτεύεται, καὶ αὐτίκως ἁμαρ-
τιῶν πολλὴ καθ' ἑκάστην ἡ χρεία. Ἀλλὰ μὴν
ἁγιασμοῦ παντὸς γένεσις τὸ Πνεῦμα τὸ ἅγιον,
ἥ φησιν ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος ὁ μέγας
Βασίλειος, ὃ ξυνομολογοῦσι πάντες· ἀδύ-
νατον ἄρα τὴν ἐκκλησίαν τὸν ἅγιον ἁγιασμὸν
πίστεως μὴ καθαγιαζομένην τῇ ἐλλάμψει τοῦ
Πνεύματος. καὶ πάλιν ἀδύνατον τῇ φωταγω-
γίᾳ τοῦ Πνεύματος τὴν ἐκκλησίαν ἐλλάμπεσ-
θαι, εἰ μὴ καθ' ὃ ὁ Χριστὸς ἐθεσμοθέτησε
τρόπον. διεστείλατο δὲ ὁ δεσπότης προβιβά-
σας τὸν Πέτρον εἰς ποιμένα καὶ ἀρχηγὸν τῆς ἐκ-
κλησιαστικῆς ἱεραρχίας, καὶ πρὸς αὐτὸν φή-
σας· ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ
πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήριξον
τοὺς ἀδελφούς σου. Ἔργον ἄρα ἴδιον τοῦ Πέτρου,
ἢ ποιμὴν ὑποβεβλημένος, τὸ ἐπιλάμπειν
θεῖα πίστεως τῇ φωταγωγίᾳ στηρίζειν τὴν κα-
θόλου ἐκκλησίαν. καὶ τρόπος οὗτος Χριστοῦ
νενομοθέτηται θεῖος, ἵνα ἄνωθεν μὲν αὐθεντικῶς
ὁ Παράκλητος φωτίζῃ, φωτιζόμενος δὲ ὁ τοῦ
Πέτρου ποιμαντικὸς καθηγεμὼν, τῇ γὰρ ἀκο-

τοῖς

τοῖς διαδόχοις ὁ Πέτρος, διαβεβαιοῖ τὴν χάριν τῆς ἀναμαρτήσιας ὅπλον τὸ ποιμαίνειν. ὅθεν δῆλον ὡς ἀδιάκλαστον, μηδαμῇ μηδαμῶς ἐνδέχεσθαι τὴν ἐκκλησίαν ἐκτραπῆναι τῆς ἀληθείας· ὥσπερ ἀδύνατον ὑποβρύχιον γενέσθαι τὸ πλοῖον, τὴν κυβερνητικὴν αὐτὴν τέχνην ἔχον περισκαθεζομένην τῷ πηδαλίῳ.

Βλασφημοῦσιν ἄρα οἱ τῷ Καλβίνῳ συγκλωθέντες τὸ ἀσύγκλωστον. τὸ γὰρ εἶναι τῷ Θεῷ τὴν ἐκκλησίαν ἀδύνατον μὴ ἔχειν τὸν Θεὸν ἔνοικον.

Βλασφημοῦσιν ἀκαθάρτοις στόμασιν αὐθεντῶν διαβεβαιούμενοι τὴν ἐκκλησίαν. ἐπεὶ τοῖς γὰρ ἀλάθητος, ὁ Πέτρου διάδοχος τὸν πύργον τῆς πίστεως, ὃν λαμβάνει παρὰ τοῦ Πνεύματος, διαδίδωσι τῇ ἐκκλησίᾳ, ἀκρατῶς ἐν τῶν θείων δογμάτων ἐκ ἢ θνητὸς ἀλάθητος, ἀλλ᾽ ἢ ποιμὴν τῶν Χριστοῦ προβάτων, καὶ τοῖς ἀλάθητος τῷ ἁγίῳ Πνεύματι ὑπηχούμενος ἐν διακριτικῆς παραθέσεως.

ΑΡΘΡΟΝ ιγ.

Πιστεύομεν δικαιοῦσθαι τὸν ἄνθρωπον διὰ πίστεως, οὐκ ἐξ ἔργων. Λέγοντες δὲ διὰ πίστεως, νοοῦμεν τὸ, πρὸς ὃ ἡ πίστις ἀναφέρεται, ἤγουν τὴν Χριστοῦ τὴν δικαιοσύνην ἧς ἀντιλαμβάνεται θιγγάνουσα ἡ πίστις, καὶ προσάπτει ἡμῖν εἰς σωτηρίαν. ἀρκεῖ δὲ τοῦτο γίνεσθαι, καὶ οὐδὲν πρόσκομμα φέρειν τοῖς ἔργοις ἐξωνομασμένοις. καὶ τὰ ἔργα γὰρ ἀμελητέα μὴ εἶναι, καὶ ἀναγκαῖα μέσα ὑπάρχειν, τῆς τε ἐν ἡμῖν πίστεως μάρτυρας τῆς ἡμετέρας κλήσεως ἐπιβεβαιοῦντας, ὡς ἡ ἀλήθεια διδάσκει. εἶναι μέντοι αὐτὰ ἱκανὰ καθ' ἑαυτὰ τὸν ἄνθρωπον σῶσαι, ἢ δύνασθαι παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ καὶ δίκαια ἀντίδοσιν προξενοῦντα ἡμῖν σωτηρίαν, τοῦτο ψευδές ἐστι· διακωλύει ἡ ἀνθρωπίνη ἀσθένεια. Ἀλλ' ἡ δικαιοσύνη τοῦ Χριστοῦ τοῖς μετανοοῦσι προσαπτομένη δικαιοῖ μόνη καὶ σώζει τὸν πιστόν.

ΚΑ-

ΚΑΤΑΚΡΙΣΙΣ.

Ἀγνοοῦντες γάρ, φησὶν ὁ Ἀπόστολος, τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι οἱ Καλβινισταὶ, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. ὁ δὲ πιστεύων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐξ ἔργων· ἔμπαλιν ὅτι μόνη ἡ πίστις καθίστησιν αὐτὸν δίκαιον, αἱ δὲ φαῦλαι πράξεις οὐ καθ' αὑτὰς ἀποτελοῦσιν ἄδικον, ἀλλ' ἔσονται μαρτυρίαι τῆς ἀπιστίας· οὔτε μὲν ἔσονται καθ' αὑτὰς ἱκαναὶ τὴν καταδικάζουσαν τῷ κρινομένῳ ψῆφον ἐφελκύσασθαι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. ἀλλὰ τοῦτο μάχεται ταῖς ἀποστολικαῖς ἀποφάσεσιν· Ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν; μήτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.

Ἔνθα ἐξηγούμενος ὁ Χρυσόστομος· ὄχλον, φησὶ, ἐλέγχει φθειρομένους ἀνθρώπους. λέγουσι γὰρ οἱ πολλοὶ, ὅτι φιλάνθρωπος ὢν

ὁ Θεὸς καὶ ἀγαθὸς ἐκ ἐπεξέρχεται τοῖς πλημμελήμασι. Τούτου ἕνεκεν φησὶν, μὴ πλανᾶσθε, πλάνης γάρ ἐστιν τοῦτο ἐσχάτης καὶ ἀπάτης. ὁ τοίνυν πλάνης ἐστὶ καὶ τὸν Ἀπόστολον ἐσχάτης ὑπολαμβάνειν, τὸ ἐπὶ τῇ τὴν ἀπιστίαν πλημμελήματα μὴ καθ' αὐτὰ καὶ [illegible] ἀξιωθῆναι τοῦ θείου βήματος, καὶ μὴ καθίστασθαι καθ' αὐτὰ ἁμαρτωλὸν τὸν πράξαντα· εὔδηλον ὅτι καὶ τὸν αὐτὸν λόγον πλάνης καὶ ἀπάτης ἐστὶν ἐσχάτης ὑπολαμβάνειν, τὰς ἀγαθὰς τῶν πράξεων καθ' ἑαυτὰς, ἀλλὰ διὰ μόνης τῆς πίστεως ἔχειν τὸ δίκαιον, καὶ αὐτὰς μὴ ἐμποιεῖν τῷ δικαίῳ τὸ εἶναι δίκαιον. Τοῦτο γάρ ἐστιν, ὃ παρέχειν τὸν εἰκότα λόγον βούλονται οἱ θεῖοι πατέρες, τὴν πίστιν μόνην ἀρκεῖν, ἀλλ' ἢ τὴν δι' ἀγάπης ἐνεργουμένην. ἐνεργουμένην δὲ καλέσας ὁ Ἀπόστολος ἐδήλωσε σαφῶς, τὴν πίστιν ᾗ [illegible] ἐνεργητικῶς [illegible] τὸ [illegible], πρὸς τὸ δικαιοῦσθαι μόνην τάξιν ἔχειν πάσχοντος καὶ κινουμένου, ὥσπερ τὰς ἐνεργουμένας πράξεις τῆς κινήσεως, ὅτι γοῦν ἐκ τῆς ἐννοίας καὶ τῆς λέξεως τῆς ἀποστολικῆς ἐκ ἀμφίβολον, πιστὰ [illegible] τὸν ἄνθρωπον, ἐφ' ὅσον ὑπὸ τῆς ἀγάπης λαμβάνει ἡ πίστις τὸ ἔμπρακτον,

καὶ

καὶ δικαιοῦται ὁ τὴν πίστιν κεκτημένος, καὶ τῶν κατορθωμάτων, τῆς ἐν τῷ καθ' ἡμᾶς δικαιοσύνης ἀπονεμομένης τῇ πίστει ὡς κινητικῇ δὲ τῇ ἀγάπῃ, ἥτις ὁμοζυγοῦσα ἐνεργουμένην ἔχει τὴν πίστιν. ὅπερ ὑπέρ γε μου, ταυτοσημάντως δὲ λέξεσιν ἐδήλωσεν καὶ Ἰάκωβος ὁ Ἀπόστολος φήσας· Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. ὥσπερ γὰρ τὸ σῶμα χωρὶς Πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι. διαβεβαιούμενοι τοίνυν οἱ Καλβινισταί, τὴν δικαίωσιν γίνεσθαι διὰ πίστεως, οὐκ ἐξ ἔργων, πόῤῥω πάνυ τῆς ἀληθείας ἀποπλανῶνται.

Δεῖγμα ἐν τῷδε τῆς αὐθαιρέτου ἀποπλανήσεως, τὸ διὰ πίστεως ταυτὸν ἐστὶ τῷ διὰ τοῦ ὑποκειμένου, χρηστικοῦ ὄντος, δηλαδὴ τῆς δικαιοσύνης τοῦ Χριστοῦ. ὡς φασιν, ἡ πίστις ὄργανον, καὶ ἡμῶν αἰτιοῦται πρὸς σωτηρίαν. Τοῦτο δὲ ταυτὸν ἐστιν, ὡς εἴ τις λέγει, διὰ τοῦ ὁρῶντος ὀφθαλμοῦ γίνεσθαι δέον τὸν ὁρώμενον ἥλιον· καὶ τὸν ἔχοντα ὄμματα ἔχειν καὶ τὰ τοῖς ὄμμασιν αἴτια κείμενα. ἀλλὰ ταῦτα ὑπερφυσικῶς φιλοσοφήματα. ὅτι δὲ ἡ πίστις καλοῦσα, καὶ ἡμᾶς ἐφαρμόζει πρὸς σωτηρίαν, πολλαῖς μὲν ἀγχοναῖς

πολ-

πολλοὺς δὲ γίνεσθαι ἀσεβεῖς. τὸ γὰρ καταφρονεῖν τῆς ἀγνοίας ἔργον, τὸ δὲ μὴ προσαρμόζειν ἐστὶ τῆς θελήσεως· ὅπου γε τὸ προσαρμόζειν ἐστὶ βούλεσθαι καὶ προσοικειοῦν ἑαυτῷ ὅπερ ὁ Χριστὸς εἰς ἡμετέραν εἰργάσατο σωτηρίαν. καὶ δὴ ἐὰν ἀξιωθείησαν σωτηρίας προσοικειοῦντας ἑαυτοῖς διὰ πίστεως τὴν δικαιοσύνην τοῦ Χριστοῦ, βέλτιον ἄρα ἐὰν νομοθετηθῶσιν ἡμῖν τὰ μυστήρια. πᾶσα γὰρ δὴ τῶν μυστηρίων ἡ δύναμις καθίσταται περὶ τοῦτο, ὅπως λαμβανόμενα παραστήσῃ ἡμῖν τὴν διὰ τοῦ πάθους τοῦ Χριστοῦ θεραπείαν. Ἀλλ' εἴποι ἂν πρὸς τοὺς οὕτω φιλοσοφοῦντας ὁ Χρυσόστομος, ὅπερ πάλαι ἀντέταξε τοῖς Μαρκιωνισταῖς. ἐκεῖνοι γὰρ τοὺς αὐτῶν ἀφεσιμαίους ἀπελθοῦσιν κατηχουμένους, καὶ κειμένους ἐπὶ τῆς κλίνης ζῶντας ὑποκρύπτοντες ἀς καὶ αὐτὸ τὸ τετελευτηκότας ἐβάπτιζον. Ἀλλ' εἰ τοῦτο δεχοίμεθα, φησὶν ὁ Χρυσόστομος, οὐκ ἔστι λοιπὸν τινὰ μὴ βαπτισθῆναι, τοῦτ' αὐτὸ καὶ τοῖς φρονοῦσι τὰ τοῦ Καλβίνου παντὸς ἂν ἀντιπροφέρειν. εἰ γὰρ νομισθείη διὰ πίστεως ἡ τοῦ Χριστοῦ δικαιοσύνη, καὶ οὕτως ἐφαρμοζομένη σώζει, πάντες ἂν νεκροὶ ἐφαρμοσθεῖεν, καὶ οὐκ ἂν εἶεν οἱ μὴ σωζόμενοι. πλὴν διαφθειρομένους τῶν

τῶ

τὰ μυστηρίας διδάσκει ὁ μέγας Ἀπόστολος γράφων πρὸς Γαλάτας, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. καὶ πρὸς Ῥωμαίους, Ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Καὶ ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν.

Εἰ γὰρ διηρημένον τοῦ ἀνθρώπου ἔνδυμα γίνεται ὁ Χριστός, τουτέστιν ἅπασα καθόλου ἡ ἀρετή, ὡς διερμηνεύει ὁ Χρυσόστομος· ἡ ἄρα τῆς ἔξωθεν δικαιοσύνης τῶν Καλβινιστῶν θέσις σαφῶς ἐστιν ἄτοπος. Τὸ γὰρ ἔνδυμα, καὶ τὸ ἀνάλογον τοῦ ἐνδύματος οὐκ ἄλλο τοῦτο, εἰ μὴ τοῦ ἐνδεδυμένου αὐτῷ συγκείμενον.

Τρίτη αἱρετικὴ πλάνη, τὸ ἀναγκαῖα εἶναι τὰ ἔργα ὡς μάρτυρας τῆς πίστεως τῆς ἡμετέρας κλήσεως ἐπὶ βεβαιοῦντας. Καὶ μὴν ὁ Σωτὴρ ἔλεγεν ἐν τῷ κατὰ Ἰωάννην· Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, ὁ Πατὴρ αἴρει αὐτό. Καὶ ὁ Χρυσόστομος, Ἐνταῦθα, φησί, τὸν βίον ἀπαιτεῖται δεικνὺς ὅτι χωρὶς ἔργων οὐκ ἔστιν εἶναι ἐν αὐτῷ. Κἀν τῇ πρὸς Φιλιππησίους ὁ Παῦλος· Ἵνα ἦτε, φησίν, εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ. Τουτέστιν

ὡς

ὡς ἑρμηνεύει ὁ Χρυσόστομος, μετὰ τῶν δογμάτων καὶ βίον ὀρθὸν ἔχοντες. ἀλλὰ μετὰ τὸ συμπληρωθῆναι καρπὸν δικαιοσύνης τοὺς ἀνθρώπους, καὶ ἔσω αὐτοῖς περιπατῆσαι τὴν ἐν ἰδίαν δικαιοσύνην. καὶ ἐπειδὴ καρπὸν δικαιοσύνης ἔχει τὰ δόγματα, ἀλλ' αἱ πράξεις, οὐκ ἔστιν ὅπως ἐκ τῶν ψιλῶν εἴη, τὰ ἔργα χώραν ἔχειν μαρτυρεῖν τῆς πίστεως, ὥς τι ἀποδέσιμον[?]. ἔχουσι γὰρ μετὰ τὴν τοῦ Σωτῆρος φωνὴν, καὶ τὴν ἀποστολικὴν ὑφήγησιν, τελικοῦ χώραν αἰτίου, οὗ ἕνεκα, καὶ πρὸς ὃ ὁ σκοπός. ἡ πίστις γὰρ διὰ τὰ ἔργα, οὐ τὰ ἔργα διὰ τὴν πίστιν.

Πάλιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους β. Τοὺς γὰρ πάντας, φησὶν, ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος (οὐχ ὡς πεπίστευκεν) τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. ἐξετασθήσεται τοιγάρτοι ἕκαστος ἃ ἔπραξεν ἔργα, οὐ καθ' ἑαυτὴν γυμνὴ ἡ πίστις. Ὅτι χωρὶς ἀγάπης, φησὶν ἐν τῷ περὶ βαπτίσματος ὁ μέγας Βασίλειος, ἀνωφελὴς ἐστὶν αὐτῆς τῆς πίστεως ἡ ἀκριβεστάτη ἐνέργεια. οἱ δέ γε ἐξεταζόμενοι ὅπως ἔτι τὴν ἀπώλεσαν, ἢ τὴν παρακατέθεντο[?] λάβωσι ψῆφον. οἱ μάρ-

τυρες

τηρῆς αὐτὸν, ἀλλ' ἐκδέδωκας. Ἀσεβὴς ἄρα θέσις τὸ φάσκειν, τὰ ἔξω μαρτύρια τῆς πίστεως ἀπέχειν μόνον τὰ ἔργα. Ἀσεβὴς προσέτι θέσις τὸ φάσκειν, τὰ ἐν Θεῷ γενόμενα ἔργα, προσηκόντως μένειν τῆς θείας ἐπαγγελίας, μὴ ἱκανῶς ἔχειν καθ' αὑτὰ συνδραμεῖν τῷ αἵματι τοῦ Χριστοῦ πρὸς τὸ κατ' ἀξίαν ἀποδοθῆναι αὐτοῖς ἀντιμισθὸν τὴν σωτηρίαν· τὸ γὰρ ἀνέχεσθαι τῆς ἀνθρωπίνης ἀσθενείας ψεῦδος ὂν τοῦτο ἀπελέγχει τοῦ Ἀποστόλου βοῶντος ἐν τῇ β. πρὸς Κορινθίους, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν. Ἔνθα ὁ Χρυσόστομος περὶ τὴν ἔργων τῆς ἀνθρωπίνης ἀσθενείας ἐπέκεινα ἀξίαν, ἀθροίσας ὅλον καταβάλλεται λόγον, καὶ τῆς ἀποστολικῆς λέξεως πολυτρόπως ἐπεξηγησάμενος. Καθὰ δὴ καὶ τὸ τῆς β. πρὸς Τιμόθεον· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Δικαιοσύνης φησὶν ἑρμηνεύων ὁ διδάσκαλος, ἤγουν τῆς καθόλου ἀρετῆς.

Κἀκεῖνο δὲ, τὴν πίστιν τετήρηκα, τὸ ὑπὲρ

τῆς

τῆς πίστεως πέσοις καὶ κινδυνεύοις ἐξηγεῖται. ὅπως οὖν ὁ δίκαιος κριτὴς ἀποδώσῃ τὸν στέφανον τοῖς ἔργοις τοῦ Παύλου, τὰ τοίνυν ἔργα τοῦ Παύλου ἀπαιτοῦσιν ἑαυτοῖς τὴν ἔνδικον μισθαποδοσίαν.

Οὕτω δὴ μάχεται τῇ πίστει καὶ τῷ φρονήματι τῆς ἀποστολικῆς ἐκκλησίας, ὅλον τουτὶ τὸ ἄρθρον, ἐν ᾧ δογματίζει περὶ πίστεως παρ' ἃ διδάσκει ὁ μέγας Βασίλειος ἐν τῷ περὶ πίστεως· παρ' ἃ διδάσκει ὁ θεῖος Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ἑβραίους· ἐν οἷς τὴν δικαιοσύνην οὐκ ἐνυπάρχουσαν τῷ δικαίῳ, ἀλλ' ἔξωθεν ἐπικειμένην ἀναπλάττει· ὡς εἰ τὸν καθήμενόν τις αἰθίοπα τὸν ἀλλοτρίως περιέχειν, καὶ τὸν πονηρὸν ἔχοντα δέρματος ἦχον διαβεβαιοῦντο τῇ τοῦ πέλας ἀξίᾳ. Ὅπου πάλιν ὅλως κεφαλῆς οὐκ ἔστιν ἐν τῷ ἄρθρῳ τούτῳ ὁλοκληρία, ἀλλὰ δυσπληρία, καὶ δυσσέβεια, καὶ κακόδοξος μυθολογία.

ΑΡΘΡΟΝ ιδ'.

Πιστεύομεν, τὸ αὐτεξούσιον νεκρὸν εἶναι ἐν τοῖς μὴ ἀναγεννηθεῖσιν, οὐ γὰρ δύνανται ἀγαθόν τι ποιεῖν· καὶ ὅ, τι ἂν πράττωσιν, εἶναι ἁμαρτίαν. ἐν τοῖς πάλιν γεννηθεῖσι δὲ τὸ αὐτεξούσιον διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος ἀναβιοῦν. καὶ ἐνεργεῖ μὲν, ἀλλ' οὐ χωρὶς ἐπικουρίας τῆς χάριτος. Ἵν' οὖν ὁ ἄνθρωπος πράττῃ τ' ἀγαθὸν, προφθάνει ἡ χάρις τὸ αὐτεξούσιον, ὅπερ μὴ προηγούσης τῆς χάριτος τετρωμένον ἐστὶν, ὡς ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ, καὶ ἐμπεσὼν τοῖς λῃσταῖς· ὥστε μηδὲν ἀφ' ἑαυτοῦ δύνασθαι, καὶ μηδὲν ποιεῖν.

ΚΑΤΑΚΡΙΣΙΣ.

Οἱ διδάσκαλοι ἡμῶν δὴ ἃ περὶ τὰ τῶν Καλβινιστῶν ἐν αἰνίγματι. ἴδιον δὲ μάλιστα τοῦτο ξυμπάντων τῶν αἱρετικῶν. πάντες ἀσαφείᾳ χαίρουσιν, ὁμωνυμίαις, καὶ ἀμφιβολίαις.

Νῦν γὰρ φασί τι ἀντιξόουσιν τοῖς μὴ ἀναγεννηθεῖσιν, ὡς μὴ δυνάμενοι ἀγαθόν τι ποιῆσαι ἔξω τοῖς ἀναγεννωμένοις ἀνίστασθαι, ἀλλ᾽ ἢ τὸ ξυμματισμένοι, καὶ προστίθεασι, ἀφ᾽ ἑαυτοῦ μηδὲν δύνασθαι.

Τὸ μὲν οὖν μηδὲν ἀγαθὸν δύνασθαι, καὶ μηδὲν ἀφ᾽ ἑαυτοῦ δύνασθαι, ἀλλήλοιν πάμπολυ διαφέρει. Τὸ δὲ ἐπειδὴ ὅτι μηδὲν ἀγαθὸν δύνασθαι, ἄλλο ἐστὶ μηδὲν ἀφ᾽ ἑαυτοῦ δύνασθαι, δυνάμει ἔχειν πάντοτε τοῦ ποιεῖν τὸ κακοῖς σύμφωνα.

Πάλιν δὲ διδόασιν αὐτῷ τὴν ἀπὸ τῆς συμπεσόντος ἔγερσιν, πλὴν ἐκ χωλοποιῶν πληγῶν, ὁμολογοῦντες ὅτι μηδέποτε ὑγιῶς ἔχειν. τὸ δὲ μηδέποτε ὑγιῶς ἔχειν τὸ ἀντιξόουσιν τῇ θείᾳ βοηθουμένῳ χάριτι, τί ἄλλο γε, ἢ ἄρνησις τῆς παντοδυνάμου τοῦ ἰατροῦ δυνάμεως· καὶ βούλεσθαι

ὅτι τὸν δίκαιον ὄν, τοῖς ἀγαθοῖς αὐτοῦ συνέχε-
σθαι καθ᾽ ἅπαντα χωλεύειν;

Εἰ μὲν καὶ τὸ ἀντιτάξασθαι τοῖς ἀθεωτάτοις φονικῷ θανάτῳ νεκρὸν ἐστὶ βούλονται· ὅπως [illegible] δικοῦσι, τοῖς γὰρ καθαροῖς ψυχαῖς [illegible] καὶ δικαιοσύνης, αὐτοὶ καὶ αὐτοῖς μάχονται. ὁμολογοῦντες γὰρ τοὺς μὴ ἀναγεννηθέντας [illegible] καθ᾽ ἕκαστον ἔργον, ὁμολογοῦσιν [illegible] αὐτοῖς τὸ ἀντιτάξασθαι ἐνεργοῦν γὰρ χωρὶς [illegible] ἀδύνατον. εἰ δὲ ἐνεργοῦν, ἄρα ζῶν, τὸ γὰρ μὴ ζῶν οὐκ ἐνεργεῖ. εἰ δὲ τὸ ἀντιτάξασθαι τὸν θάνατον ἠθικὸν οὕτω [illegible], ὅτι τῆς θείας χάριτος [illegible], νεκρὸν [illegible] ἀπὸ τῶν ἀνθρωπίνων [illegible] ματίζειν, ἀλλ᾽ ὅτι τῆς πίστεως ἄρχεται. [illegible] γὰρ νεκρὸν [illegible] τὸ ἀντιτάξασθαι μὴ [illegible] ἐνεργοῦν, ἢ ζῶν [illegible] εἰς τὸ [illegible] καθόλου ἄν;

Ὅθεν ἄρα ἡ [illegible] τῆς [illegible] θέσις [illegible], [illegible] διὰ πίστεως, οὐχὶ ἐξ ἔργων. εἰ γὰρ [illegible] ζῶντας [illegible], καὶ νεκροὺς [illegible] τὸ ἀντιτάξασθαι. [illegible]

D [illegible]

σιν, μόνη συνίστησιν ἡ πίστις, ἀλλὰ καὶ τὰ ἔρ-
γα καλὰ τῶν ἀνθρώπων ἔργα. διὸ καὶ ζω-
τικὰ δεῖν, ἢ τὸ ἀξιόλογον τῆς ζωῆς ἔχει δι' αὐτὰ
ζῆν μάρτυρες.

Ἀλλ' ὅτι ἔχομεν ἡμεῖς περὶ τὸ αὐτεξούσιον φρο-
νεῖν ἐκδιδάσκουσιν οἱ θεῖοι πατέρες.

Ὁ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἑλλήνων
ἀποδεικνὺς ὅπως [illegible] ... πόθεν ἡ κακία, καὶ πῶς οἱ ἄνθρωποι τὴν
[illegible] ἑαυτοῖς [illegible], τὸν
λόγον ποιούμενος· Ἡ ψυχὴ, φησιν, ὅταν τὴν
φύσιν [illegible] τοῦ κινεῖσθαι [illegible], καὶ τὰ
ἑαυτῆς δυνάμεις [illegible] καταχρωμένη τού-
τοις εἰς [illegible] ἐπιθυμίας· ὅτι καὶ αὐ-
τεξούσιος γέγονεν. δύναται γὰρ ὥσπερ πρὸς
τὰ καλὰ νεύειν, οὕτω καὶ τὰ καλὰ ἀποστρέφεσθαι.
ἀποστραφεῖσα δὲ καθόλου τὸ [illegible] δύνα-
ται, καὶ [illegible] τὸ αὐτεξούσιον ἑαυτῆς [illegible]
[illegible] καθ' ἑκάτερα τοῖς τοῦ σώ-
ματος μέλεσι χρῆσθαι· [illegible] κι-
νεῖται εἰς τὰ ἐναντία, τὰς δυνάμεις ἑαυτῆς [illegible]
[illegible], καὶ τούτοις καταχρωμένη· καὶ νομίζουσα,
ὅτι ἅπαξ κινουμένη σώζει τὴν ἑαυτῆς ἀξίαν
[illegible] ποιεῖν ὃ δύναται. [illegible]

[illegible]

νάμει δὲ τούτοις πάλιν ὁ ἅγιος [illegible] δια-
νοίας ἐχέσθω, ὡς καὶ ἀλλαχοῦ τὰ αὐτὰ λέ-
γων. ἀλλ' οὖν ἐμοῦ γράψας φαίνεται, τὸ αὐ-
τεξούσιον τοῖς [illegible].

Καὶ Βασίλειος ὁ μέγας ἐν τῷ περὶ τοῦ αὐτε-
ξουσίου λόγῳ, ὑπὸ αὐτὸ ἔχειν ἰσχὺν ἐν τοῖς ἀνα-
γεννηθεῖσι [illegible]. Τὸ ἐν τῇ τοῦ ἀνθρώ-
που δυνάμει, φησὶν, αὐτεξούσιον ἐστὶ τὸ ἐ-
λέσθαι ἢ μὴ ἑλέσθαι τὸ ἀγαθὸν [illegible]
[illegible], ἐὰν ὑπὸ τοῦ [illegible] παντελῶς ἔχειν
τὸ [illegible] καὶ τὸν [illegible]. [illegible] γὰρ [illegible]
[illegible] οἱ τῆς ψυχῆς ὀφθαλμοὶ τῆς διανοίας φωτισθέντος,
ὡς [illegible] αὐτοῖς ἰσχὺς [illegible]
[illegible], ἀλλ' ἐκ
τῆς ἀκτίστου δυνάμεως τοῦ Θεοῦ. Οὕτω γοῦν
ἔχειν τὸ αὐτεξούσιον φιλοσοφοῦσιν οἱ διδάσκα-
λοι, καὶ οὐδείς που τι [illegible] ἀ-
πεφήνατο, [illegible] τὸ αὐτεξούσιον.
οὐ γὰρ [illegible] τῷ βαπτίσ-
ματι [illegible], [illegible], [illegible]
[illegible] τοῦ αὐτεξουσίου [illegible].

Νῦν δὲ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰς τὸ
ἅγιον βάπτισμα λόγῳ, διάφορα καλεῖσθαι φη-
σι, χάρισμα, χρῖσμα, φώτισμα, ἀφθαρ-

 σίας

σίας ἔνδυμα, λουτρὸν παλιγγενεσίας, σφραγῖδα· τὸ δὲ κληθῆναι καὶ ἀναστῆναι τὸ αὐτεξούσιον ὑπό τις ἄλλος εἴρηκεν ὅτι ὁ μέγας φωστὴρ τῆς θεολογίας, οὗ καὶ τὰ νοήματα καὶ αἱ λέξεις τοσαύτην ἔχουσιν ἀκριβολογίαν, ἀλλ' ὡς ἔοικε, τοῖς αἱρετικοῖς ἀεὶ φίλον, ὑπολαμβάνοντας τὸ μέσον ἔχεσθαι τῶν ἄκρων. τὸ αὐτεξούσιον οἱ Πελαγιανοὶ σφετερίζοντο καὶ ἰδιορθῶς ἐκδογματίζειν ἐπὶ τοσοῦτον, ὡς καὶ γυμνὸν τῆς ἄνωθεν τοῦ Θεοῦ χάριτος δύνασθαι πληροῦν ἑκάστην τῶν ἐντολῶν. τοὐναντίον οἱ τοῦ Καλβίνου ἐκλαλοῦντες, φασὶ τοὺς μὴ βαπτισθῆναι καὶ νεκρόν. Ἡ δὲ ὀρθόδοξος πίστις ἐδίδαξε νεκρὸν, ἀλλ' ἠσθενημένον ὁμολογεῖ καὶ κεκυρτωμένον.

ΑΡΘΡΟΝ ϛ.

Πιστεύομεν τὴν ἐκκλησίαν εὐαγγελικὰ ἔχειν μυστήρια, ἅπερ ἐν τῷ Εὐαγγελίῳ ἐνομοθέτησεν ὁ Σωτήρ. ταῦτα δὲ τὰ δύο. μείζονα μυστήρια οὐκ ἔχομεν εἰδέμεν, πλείω γὰρ οὐ παρέδωκεν ὁ νομοθέτης.

Συγ-

σύγματος δὲ ἄνευ λόγου καὶ στοιχείου, καὶ συμμαρτυρεῖ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ. Καὶ ἔτι χάριν ἱματικὴν ἐν περιβάλλομεν. Ἡ δὲ τούτων ἀναιρέτης ἅπαντα συνδεσμῶν πράγματος γνῶσιν, καὶ αἰθέντην διέγνωκεν μετὰ τῆς χρήσεως τοῦ γνῶσιν πράγματος τῆς ὑπὸ τοῦ Σωτῆρος νενομοθετηκότος, καὶ τῇ ἀληθινῇ πίστει συναπτομένης. ἐλλειπούσης γὰρ ἐχθρας τῆς πίστεως ζημιοῦται ἡ ἀλοιφὴ τοῦ μυστηρίου.

ΚΑΤΑΚΡΙΣΙΣ.

Το ὀρθόδοξον τοῦτο, δι' οὗ ἀπεδείχθησαν προλήμματα ἔμελλε κατὰ τὴν ὀρθόδοξον πίστιν ἐν τῷ μυστηρίῳ ἑβδομάδος, ἑβδομάδα ἐξελέγχει λειψανοδιεστάτων περὶ αὐτοῦ.

Ἔστι δὲ τοῦτο, ὅτι μόνα βούλεται μυστήρια εὐαγγελικά, ἃ τοῦ Σωτῆρος νενομοθέτηται, ἃ δηλονότι ῥητῶς τοῦ Εὐαγγελίου ἐμφέρεται. καίτοι γε καὶ τὸν αὐτὸν πάντας λόγον ἔχειν δεῖν, μόνα παραδέχεσθαι δόγματα εὐαγγελικά, ἃ μόνα σαφῶς ἔχομεν τοῦ Εὐαγγελίου ἐγγεγραμμένα. πῶς οὖν οἱ φρονοῦντες ἐκ τοῦ

Καλβίνου ἐν τῷ ζ. ζητικοὶ τῆς ὁμολογίας αὐ-
τῶν ἄρθρῳ τὴν πανάμωμον τοῦ Θεοῦ μητέρα
ὀρθῶς ἀειπάρθενον ὁμολογοῦσιν, ὅπερ ἐν τῷ
Εὐαγγελίῳ ῥητῶς οὐκ ἐντίθεται, πῶς ἐν τῷ
κ. περὶ ἄρθρῳ μὴ δεῖν γίνεσθαι ἀναβαπτισ-
μοὺς ὁμολογοῦσιν ὀρθῶς, ὅπερ αὐταῖς λέξεσιν
οὐ γράφει τὸ Εὐαγγέλιον, πῶς δὲ τὰ ἔγγραφα
ἀπαιτοῦντες ἐν τῷ Εὐαγγελίῳ, ἵνα πιστεύητε,
τὰ ἑπτὰ μυστήρια τὴν παράδοσιν, ἀδιάκρι-
τως τοσαύτην ἀφοσιοῦσθε, ὡς ἔκφυλα
νομοθετῆσαι καὶ ἀλλόκοτα δόγματα, μὴ μόνον ἀγ-
νοοῦντα, ἢ ἐμφαίνεσθαι ὅλως τῷ Εὐαγγελίῳ δυ-
νάμενα, ἀλλὰ πλεῖστον ὅσον τῷ Εὐαγγελικῷ
ὕφει ἀντιφθεγγόμενα, ὅτι ἐκ πίστεως, οὐχὶ
ἐξ ἔργων ἡ δικαίωσις· ὅτι δικαιοῦται ὁ ἄνθρω-
πος καλυπτόμενος καὶ προσάπτων ἑαυτῷ τοῦ Χριστοῦ
τὴν δικαιοσύνην· ὅτι συνεστώσης τῆς ἐκ-
κλησίας ἐκ μακαρίων καὶ μήπω μακαρίων ἀν-
δρῶν μέλη εἰσὶν ἅγια· ὅτι τῶν θείων δώρων
ἡ μετουσίωσις ἀνάπλασμα· ὅτι τὸ Καθαρτή-
ριον μυθολογία,

Δευτέρα αἵρεσις, ὅτι δύο τὰ μυστήρια.

Τρίτη αἵρεσις, ὅτι οὐ πλείω τῶν δύο παρέδω-
κεν ὁ νομοθέτης. Ἐρώμεθα τοὺς Καλβινιστάς,

πῶς

καὶ μετὰ τὸ Εὐαγγέλιον παρέδωκεν ὁ Σωτὴρ μόνα δύο ταῦτα μυστήρια. Καὶ γὰρ ἔνθα τοῖς μαθηταῖς εἶπε· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς, καὶ τὰ ἑξῆς· οὐκ ἐσήμανεν ἐντεῦθεν, ὅτι διὰ τοῦτο τὸ προ-φέρει λόγον συμμαθεῖται μυστήριον. ἔτι γοῦν ἐμφυσήσας εἶπεν· Λάβετε Πνεῦμα ἅγιον, ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, καὶ τὰ λοιπά· κἂν μὴ σαφῶς ἐδήλωσεν, ὅτι δι' ὧν ἔφρασε λόγων εἶναι τοῦτο οἰκονόμων μυστήριον, μηδαμῶς λογισθείη ἕτερον παραδεδωκέναι μυστήριον; ἐπὶ γὰρ τοῦ Σωτῆρος χαρακτῆρι φράσεως χρησαμένου ἄλλην κατά τινα ἀποκλήρωσιν, ἐν ἐπὶ μὲν χωρίου συμπαραδοθῆναι μυστήριον, ἐν θατέρῳ δὲ μὴ, οὐ χριστιανῆς εὐσεβείας, ἀλλὰ ψυχῆς ἐστι πονηρευομένης.

Πάλιν μὴν λαβὼν ἰδία χρησάμενος ὁ Δεσπότης ἔνθα εἶπε· Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ αὖθις, Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. πῶς οὖν μὴ συμμαθεῖται τὸ τῆς Εὐχαριστίας μυστήριον, ἐνταῦθα οὐδαμῶς τὸ τῆς ἱερωσύνης πρὸς λειτουργίαν τοῦ θυσιαστηρίου μυστήριον; Διαφορᾶς γὰρ φαινομένης ἐν τοῖς λόγοις τοῦ Χριστοῦ μηδεμιᾶς ἐ-

Καλβινόπλαστος δυὰς τῶν μυστηρίων ἀθέλαγος.

Πλέον αἰσχύνης ἡ τόλμα, καὶ σφοδρὰ τῆς ψευδολογίας ἡ ὄρεξις. Καὶ πῶς οὖν ἡ ἑπτάριθμος ἁγιστεία τῶν μυστηρίων ἀμφισβητήσιμος ἐν τῇ ἀποστολικῇ ἐκκλησίᾳ, τί γὰρ αὐτῇ συνηθέστερον, τί δὲ γνωριμώτερον καὶ ἁγιώτερον τῆς ἱεροτελεστίας τῶν ἑπτὰ μυστηρίων, Οἱ γοῦν τῶν σχισμάτων ἀρχηγοὶ πολλὰ νεωτερίσαντες, ἐν ᾧ συγκαταμίξαι τῷ διαφθορῶν τῶν θρησκευμάτων ἔτι καὶ δογμάτων διαφορὰν τῆς ἀποστολικῆς πρὸς τὴν δυτικὴν ἐκκλησίαν, ἄθικτον ὅμως ἀφῆκαν τὸ ἐντελὲς τῶν μυστηρίων καὶ ποσότητι καὶ συνδρομῇ τῶν ἐξ ὧν αὐτὰ σύγκειται μορίων· τῆς τοῦ Θεοῦ προνοίας ἐν τῷ πράγματι τῶν μυστηρίων τὴν συμφωνίαν πρυτανευούσης, ὥστε τὴν κοινὴν καὶ ὁμόλογον ἀνατολῆς καὶ δύσεως μαρτυρίαν ἐμφράττειν τὰ τῶν αἱρετικῶν ἀπατηλὰ στόματα.

Τετάρτη αἵρεσις, ὅτι τὰ μυστήρια (δηλαδὴ ξύμπαντα) σύγκειται ἐκ λόγου καὶ στοιχείου. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται. Φιλοσοφοῦσιν οὕτως οἱ νέοι δογματισταὶ τῆς δυάδος τῶν μυστηρίων. Εἰ γὰρ καὶ δύο μὲν αὐτοῖς στοιχεῖον εἶναι τὸ

ὕδ

ἐν τοῖς μυστηρίοις [illegible] στοιχείων, ἀλ-
λ' ὅπου τὸ λέγομεν ὕλας ἔχει ἐν τῇ μετανοίᾳ καὶ
τῷ γάμῳ οὐκ ἐγχωρεῖ τὸ στοιχεῖον.
[illegible] εἴπωσιν, ὅτι τῆς ἐπαγγελίας τοῦ
Θεοῦ σημεῖα τὰ μυστήρια. ἀλλ' οὐδ' οὕτω καλῶς,
ἐπειδὴ διαλλάττουσι τῆς περιτομῆς τὰ εὐαγγελι-
κὰ μυστήρια· φησὶ γὰρ ὁ ἀπόστολος ἐν τῇ
πρὸς Ῥωμαίους· Καὶ σημεῖον ἔλαβε περιτο-
μῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως.
ὅτι· Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβρα-
άμ, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. εἰ γοῦν
τῇ δικαιοσύνῃ τῆς πίστεως ἐδόθη ἡ ἐπαγγε-
λία, καὶ περιτομὴ ἦν σφραγὶς τῆς δικαιοσύ-
νης τῆς πίστεως, ἡ περιτομὴ ἄρα ἦν καὶ σφρα-
γὶς τῆς ἐπαγγελίας· εἰ δὲ σφραγὶς τῆς ἐπαγ-
γελίας, καὶ σημεῖον. Καὶ ἔστιν ἡ περιτομὴ ση-
μεῖον τῆς ἐπαγγελίας τοῦ Θεοῦ, ἐν [illegible] οἱ
Καλβινισταὶ δείξουσι τὰ εὐαγγελικὰ μυστήρια
σημεῖα τῆς ἐπαγγελίας τοῦ Θεοῦ. καὶ ποῦ τὰ
διάφορα, καὶ [illegible] τῶν εὐαγγελικῶν μυ-
στηρίων.

Οὐδὲ οἱ θεῖοι πατέρες, ἐν οἷς καὶ οἱ αὐτοὶ [illegible],
οὐχ ὡς σημεῖον ἐπαγγελίας φασὶ τοῦ ἁγίου βα-
πτίσματος [illegible] λέγουσιν, ἀλλ' ὀργα-

[illegible] νικὸν

ντικὴν δύναμιν ἐν αὐτῷ ἁγιασμοῦ ἐμποιητικὴν καθυμνολογοῦσιν, καὶ δῆλον ἐκ τῆς ἀκολουθίας τοῦ ἁγίου βαπτίσματος, καθ' ἣν προηγουμένως δεήσεις ἱερὰς ἐπὶ τῷ κολυμβήθρᾳ ὕδατι ἀναλαμβάνουσαι.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθ.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθ.

Εἶτα ἐν ταῖς εὐχαῖς ταῖς μεγαλοφώνως ἐκφωνουμέναις. Αὐτὸς οὖν, φησι, φιλάνθρωπε βασιλεῦ πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο. Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου· ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πε-

πλη-

πλανωμένου· φυγέτωσαν δὲ ἀπ' αὐτοῦ οἱ ἐπιβουλεύοντες τῷ πλάσματί σου.

Εἶτα· Ἀλλὰ σὺ Δέσποτα τῶν ἁπάντων ἀπόδειξον τοῦτο ὕδωρ ἁγιασμοῦ, καθαρισμὸν σαρκὸς καὶ Πνεύματος, ἄνεσιν δεσμῶν, ἄφεσιν παραπτωμάτων.

Καὶ ὅλως ἐκ τούτων ἐμφανιστικωτάτων λόγων συνεστήκασιν αἱ περὶ τοῦ βαπτίσματος ἀρχαί, αἱ ὑπὸ τῶν Ἀποστόλων παραδοθεῖσαι, καὶ ὑπὸ τῶν ἁγίων πατέρων παραληφθεῖσαι, ὡς ἔστι μαθεῖν ἐκ τῆς τοῦ Ἀρεοπαγίτου διδασκαλίας. παρακατέσχεν ἤδη καὶ παρακατέχει ἡ τῆς ἀνατολῆς ἐκκλησία.

Ἐκπαίδευσις, ὅτι συνοδεύομεν δὲ τὸ βάπτισμα, ὃ ἐξακολουθοῦμεν μετὰ τῆς χρίσεως τοῦ ἁγίου χρίσματος, ἵν' ᾖ ἐντελὲς τὸ μυστήριον. Αὕτη τοῦ μυστηρίου ἡ ἑρμηνεία πολὺ μὲν ἔχει τὸ αἰσθητόν, πολὺ δὲ τὸ ὑψηλὸν καὶ ἀκριβές. Βούλεται δὲ πάντως κρίνεσθαι τὸ ἐντελὲς τῆς Εὐχαριστίας ἐκ τῆς χρίσεως, ὥσπερ τὸ ἐντελὲς τοῦ βαπτίσματος ἤδη ἐν τῇ χρίσει. Ἀλλὰ τοῦτο οἵτινες πολεμοῦσιν ἐν πᾶσι τοῖς θεοφόροις ἁγίοις πατράσι, τῇ ἀναγνώστῃ τελετῇ τῆς σωματικῆς ἱερουργίας, τῇ

τῇ διαφορᾷ καθ᾽ ἣν ὁ Σωτὴρ ἐνομοθέτησεν. Τὸ μὲν βαπτισματικόν, βαπτίζοντες εἰς τὸ ὄνομα, καὶ τὰ ἑξῆς, ὅπερ ἐστὶ ῥῆμα σημασίας ἐνεργητικῆς· τὸ δὲ ἅγιον δῶρον ὑπαρκτικῷ χρησάμενος ῥήματι, Τοῦτό μου ἐστὶ τὸ σῶμα, καὶ Τοῦτό ἐστι τὸ αἷμά μου. Τοιγαροῦν ὥσπερ ὁ νομοθετηθὲν ἐνεργητικῷ ῥήματι τὸ βάπτισμα, οὕτω καὶ διὰ ἐνεργείας καὶ ὑδατολουσίας τελεῖται· Τὸ δὲ μυστήριον τῆς συνάξεως ὑπαρκτικῷ ῥήματι νομοθετηθὲν τελεῖται παρουσίας τῆς τῶν σημαινομένων ὑπάρξεως, σημαινομένων δὲ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ. Ἐπεὶ οὖν τὸ ἔργον προηγεῖται τῆς χρήσεως, ἀνάγκη πᾶσα, τῷ αὐτῷ καὶ βλάσφημον εἶναι τὴν θέσιν τῶν Καλβινιστῶν, ὅτι ἡ χρῆσις συνίστησι τὴν Εὐχαριστίαν. Καὶ τούτου μάρτυρας προσενεγκεῖν ἐστι τῶν ἀποστολικῶν εἰς ἀναριθμήτους· πλὴν αὐτὸ πολλῶν αὐτάρκης εἰπεῖν. ὅτι μέλλοντες οἱ ἱερεῖς, καὶ ὅσοι τῆς θείας λειτουργοὶ τραπέζης μεταχεῖν τοῦ δεσποτικοῦ σώματος, ὥσπερ τὴν λέξιν τότε λαβόντες ἔχουσι, πρότερον τὴν λαμπρὰν ἐκείνην ποιοῦνται ὁμολογίαν.

Πιστεύω Κύριε καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν

κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐ-
γώ. Οὐ μόνον τῇ χρήσει ἢ βρώσει τῆς ἁγίας
μερίδος, ἀλλ' ὑπὸ τοῖς συμβόλοις τοῦ ἄρτου
παρόντα κοινωνοῦμεν τὸν Χριστὸν πιστεύει καὶ ὁμο-
λογεῖ ἡ ἀποστολικὴ ἐκκλησία, καὶ τὸ τῆς Εὐχα-
ριστίας μυστήριον ἐπιγινώσκει προϋπάρχειν τῆς
μεταλήψεως.

Ἑβδόμη αἵρεσις, ἵνα τὸ μυστήριον ἀποτελὲς
ᾖ, συνημμένην ὀφείλει ἔχειν τὴν ὀρθὴν πί-
στιν τῇ ὁρισμένῃ ὑπὸ Χριστοῦ χρήσει τοῦ
θείου πράγματος. Ἀλλὰ τοῦτο λέγειν, κα-
ταγινώσκειν ἐστὶ τῆς ἁγίας καὶ μεγάλης πρώτης
Συνόδου. ἥτις κατὰ τὸν ὄγδοον αὐτῆς Κανόνα
διορίζεται, τοὺς ὀνομαζομένους καθαροὺς τῇ
καθολικῇ ἐκκλησίᾳ προσερχομένους χειρο-
θετεῖσθαι. Ἐν δὲ τῷ ιθ. Κανόνι τοὺς Παυλιανι-
σάντας, καὶ προσφυγόντας τῇ καθολικῇ ἐκ-
κλησίᾳ ἀναβαπτίζεσθαι ἐξάπαντος. καθά-
περ καὶ ἡ ἁγία οἰκουμενικὴ β. σύνοδος τῷ ζ.
αὐτῆς κανόνι διωρίσατο, Ἀρειανοὺς, Μακεδο-
νιανοὺς, Σαββατιανοὺς, Ναυατιανοὺς, Τεσ-
σαρεσκαιδεκατίτας, καὶ Ἀπολλιναριστὰς μὴ ἀ-
ναβαπτίζεσθαι. οὐκ ἀληθὲς ἄρα ὅ φασιν οἱ Καλ-
βινισταί, τῷ ἐλλιπεῖ τῆς πίστεως ἀκυροῦσθαι
τὴν

τὴν ἑρμηνείαν τοῦ μυστηρίου. Ἀρειανοὶ γὰρ καὶ Μακεδονιανοὶ, καὶ οἱ συγκαταριθμηθέντες, πίστιν μὴ ἔχοντες ἀληθῆ, ἀληθὲς ἂν παρεχόμενοι βάπτισμα.

ΑΡΘΡΟΝ ιϛ.

ΑΡΘΡΟΝ ζ.

Πιστεύομεν τὸ ὑπὸ τοῦ Κυρίου νομοθετηθὲν μυστήριον θάτερον εἶναι, ὃ καλοῦμεν Εὐχαριστίαν. Τῇ νυκτὶ γὰρ, ᾗ παρεδίδου ἑαυτὸν, λαβὼν τὸν ἄρτον καὶ εὐλογήσας ἔλεγε τοῖς Ἀποστόλοις· Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας ἔλεγε· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο ἐστὶ τὸ αἷμά μου τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Καὶ προστίθησιν ὁ Παῦλος· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. Αὕτη ἐστὶν ἡ ἁπλῆ, ἀληθὴς καὶ γνησία νο-

μο-

μεθέξεως τοῦ θαυμαστοῦ τούτου μυστηρίου. οὐ τοί-
νυν ἐν τῇ διανεμήσει λέγομεν καὶ ὁμολογοῦ-
μεν ἀληθῆ καὶ πραγματικὴν τοῦ διαπαντὸς Χρι-
στοῦ παρουσίαν· ἀλλ᾽ ἐκείνην, ἣν προβάλλε-
ται ἡμῖν ἡ πίστις, οὐδαμῶς δὲ ἣν διδάσκει ἡ
παρακειμένη μετουσίωσις. Πιστεύομεν γὰρ
τοὺς πιστοὺς ἐσθίειν τὸ σῶμα τοῦ Χριστοῦ ἐν τῷ
Κυριακῷ δείπνῳ, οὐχὶ τοῖς τοῦ σώματος ὀδοῦσι
κατεργαζομένους, ἀλλὰ τῇ αἰσθήσει τῆς ψυ-
χῆς ἀντιλαμβανομένους. οὐδὲ γὰρ σῶμα Χρι-
στοῦ ἐστι τὸ ἐν τῷ μυστηρίῳ τοῖς ὀφθαλμοῖς προσ-
κείμενον, ἀλλ᾽ ὃ πνευματικῶς ἡ πίστις νοεῖ, καὶ
διδάσκει ἡμῖν. διὸ δὴ ἀληθὲς, ὡς εἰ πιστεύο-
μεν, αἰσθανόμεθα καὶ μετέχομεν· εἰ μὴ πιστεύομεν,
οὐδενὸς καρπούμεθα. παραπλησίως οὖν καὶ
πίνοντες τὸ ποτήριον ἐν τῷ μυστηρίῳ, μετέχομεν ὄντως
τοῦ ἀληθινοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ὃν τρόπον περὶ τοῦ σώματος εἴρηται. Ὁ γὰρ
νομοθέτης οὐκ ἂν δὴ περὶ τοῦ σώματος μόνον, οὕτω
καὶ περὶ τοῦ αἵματος ἐνετείλατο. ἣν παρ᾽ ἐντο-
λὴν οὐ τοῦ [illegible], ἵνα καλυφθεῖσα ἔξεστι μετὰ τῆς
δεσποτικῆς [illegible] γνώμης· μᾶλλον δὲ τὴν νο-
μοθεσίαν τηρητέον, ὡς παρεδόθη ἡμῖν. ἐπεὶ
δὴ οὖν κοινωνήσωμεν ἀξίως, καὶ μεταλάβω-

μεν

μεν ἐντελῶς τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ἐν τῷ μυστηρίῳ, τότε δὴ ὁμολογοῦμεν ἡμᾶς εἶναι διηλλαγμένους, ἐκβάλλοντες τε τὴν κεφαλὴν ἡμῶν, καὶ συστώμεθα, μετὰ καὶ βεβαίας ἐλπίδος τοῦ συγκληρονομήσειν ἐν τῇ βασιλείᾳ.

ΚΑΤΑΚΡΙΣΙΣ.

Βαθεῖα τὶς ἔξω ἐνθάδε ὕλη βλασφημιῶν ἀγωνιστῶν εἰς αὐτόν. Τῶν δύο παρ' αὐτοῖς μυστηρίων θάτερον εἶναι φασὶν οἱ Καλβινισταὶ τὴν Εὐχαριστίαν.

Ἀλλὰ πρῶτον μὲν οἱ ταῦτα γράφοντες οὐκ ἐφιλοσόφησαν, ὅτι ἐκ λόγου καὶ στοιχείου συγκεῖται τὸ μυστήριον. ἔσται δ' οὖν κατ' αὐτοὺς στοιχεῖα τῆς Εὐχαριστίας ὁ ἄρτος καὶ ὁ οἶνος, λόγος δὲ ποῖος ἔσται, εἰ γὰρ ὁ λόγος ἐν τοῖς μυστηρίοις βούλεται σημαίνειν τὴν πραττομένην ἐνέργειαν, ὡς δῆλον ἐν τῷ βαπτίσματι, ὁ λόγος τῆς Εὐχαριστίας ἵνα ᾖ σημαίνει τὴν πραττομένην ἐνέργειαν, δηλαδὴ τοῦτο, ὅτι λαμβάνουσι τὸ σῶμα τοῦ Χριστοῦ. ἀλλὰ τοῦτο οὐδ' αὐ-

τοὶ

τος ποτὲ ἐπιλάμψαντος αὐτοῖς ὁ Σατανᾶς.

Δεύτερον αἰτίας γίνεται, ὅτι ἐν τῇ διατυπώσει τῆς Εὐχαριστίας ὁμολογοῦσι παρεῖναι τὸν Χριστόν. ἀλλ' ἢ τὴν παρουσίαν τοῦ Χριστοῦ διδόασιν ἢ μετάληψιν, ὁ λόγος τῆς Εὐχαριστίας σημαντικὸς τῆς μεταλήψεως ἐστὶ καὶ ... Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. καὶ δὲ αὗται αἱ λέξεις. Τοῦτό μου ἐστὶ τὸ σῶμα, κατὰ τοὺς Καλβινιστὰς οὐδεμίαν ἔχουσι μεταβλητικὴν δύναμιν. ... καθ' αὐτοὺς ἡ ἀποστολικὴ ὅλη ἑρμηνεία ἐστὶν αὕτη· λάβετε τὸν ἄρτον τοῦτον, διότι τὸ ἐμὸν σημαίνεται σῶμα, καὶ φάγετε. Ἀλλὰ τὰ σημαινόμενα ἐν τῇ μεταδόσει πραγματικὴν ... τοῦ μεταδιδόντος, καὶ τοῦ μεταδιδομένου ἄρτου ἔχει πραγματικὴν καὶ ἰδιαιτέραν παρουσίαν τοῦ προσέχοντος διὰ τῆς μεταδόσεως σημαινομένου, ἀναιρεῖ τὸ σώματος τοῦ διαστατικοῦ. ἡ τοίνυν Εὐχαριστία κατὰ τοὺς Καλβινιστὰς οὐκ ἔστι μυστήριον ὡς τὸ βάπτισμα· ἐκεῖ γὰρ παραμένει ἡ πραγματικὴ καὶ ἰδιαιτέρα παρουσία καὶ τοῦ βαπτίζοντος, καὶ τοῦ βαπτιζομένου, καὶ τῆς ὕλης τοῦ βαπτίσματος τοῦ ὕδατος δι' οὗ ὁ λοῦσις, καὶ τοῦ προσέχοντος σημαινομένου διὰ τοῦ βαπτίσματος, χάριτος

σημ-

ἀναγεννήσεως. ἄλλον ἄρα τρόπον καὶ συνωνύμως ἐστὶ μυστήριον τὸ βάπτισμα, καὶ διαφόρως ἔχει πρὸς αὐτὸ ἡ εὐχαριστία.

Πάλιν εἴπερ ἡ μετάδοσις φέρει τοῦ Χριστοῦ τὴν παρουσίαν, ὡς σὺ φατέον, ἀπαξαπαντας τοὺς ἁγίους ἀποστολικοὺς πατέρας, τοὺς πιστοτάτους καὶ ἀκριβεστάτους φύλακας τῶν τῆς ἐκκλησίας νομίμων μὴ ξυνεωρακέναι, μηδὲ σαφῶς ἐγνωκέναι τὴν τοιαύτην δύναμιν τῇ μεταδόσει τῆς Εὐχαριστίας, καί τοι ἐπεγνωκότας καὶ συννενοηκότας ἄριστα τὴν δύναμιν, ἣν ἔχει τῶν ἄλλων μυστηρίων ἡ διάδοσις. Δῆλον γὰρ ἐκ τῆς ἄνωθεν φυλαττομένης τάξεως καὶ ἀκολουθίας, τὴν ἀποστολικὴν ἐκκλησίαν ἐν ὁποιῳδήποτε μυστηρίῳ δι' ὕλης ἱερουργουμένῳ διακρίνειν διακρίνειν τὰ δύο ταῦτα, τὸν ἁγιασμὸν τῆς ὕλης, καὶ τὴν χρῆσιν αὐτῆς ἐν τῇ χορηγίᾳ τοῦ μυστηρίου.

Οὕτω πρότερον εὐλογημένῳ τῷ ὕδατι τότε βαπτίζουσι, τῷ ἁγίῳ μύρῳ χρίουσι, καὶ τῷ ἁγιασθέντι ἐλαίῳ διδόασι τὸ εὐχέλαιον. πῶς οὖν ἐν μόνῳ τῷ τῆς Εὐχαριστίας μυστηρίῳ φαίη τις ἂν ἀνέχεσθαι αὐτοῖς γενέσθαι τοῦ ἁγιασμοῦ τῆς ὕλης τὴν μετὰ ταῦτα διάδοσιν, ἐπειδὴ δ' αὖ ἦν ἐν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας ὁ ἁγιασ-

μὸς

μὸς τῆς ὅλης περὶ τῆς ἐπιζητουμένης ἐξηγουμένης, καὶ ὅσον διάφορος τὸ ἐπὶ ταῖς ὅλαις τῶν λοιπῶν μυστηρίων, ἐκ τῶν αὐτῶν δεῖ λαβεῖν τῆς ἀληθοῦς διδασκαλίαν. Πάντες γὰρ ἑνὶ στόματι, καὶ μιᾷ γλώσσῃ ἐπιζητοῦσιν, καὶ ὁμολογοῦσιν, κηρύττουσιν, διδάσκουσι, καὶ παλαιγενεῖς ἔχειν βεβαίως γινώσκοντες· ὅτι μετὰ τὸν ἁγιασμὸν τῶν τιμίων δώρων ὑπὸ τῶν ἱερέων, τοῖς εἰρημένοις συμβόλοις ὕπεστιν αὐτὸς ὁ δεσπότης Χριστὸς ἀληθῶς, σχηματικῶς, καὶ οὐσιωδῶς. Τὰς δὲ πολλὰς καὶ ἀρχαίας μαρτυρίας ἐνταῦθα προσενεγκεῖν, ὅπερ ἱκανώτερον ἐν ἄλλοις ὁ παρὰ διδάσκαλος λέλεκται, μηκύνειν οὐ δεῖ τὸν λόγον ἄκαιρον. ἅλις τό γε καὶ ἔχειν ὁμολογουμένως ἐκ τῶν πατέρων, ὅπως τὰ προκείμενα, τῇ ἀκολουθίᾳ γένηται ἡ αὐτῶν ἐλευθεριωτάτη δυσφημία.

Τὴν ἱερὰν τῆς λειτουργίας τελετὴν καὶ ἐν ταῖς μυστικαῖς τῶν ἱερουργουμένων εὐχαῖς, καὶ ὁδῷ τῇ κοινῇ συνηθείᾳ τῶν ἁγίων πατέρων καλοῦμεν θυσίαν ἀναίμακτον, σαφῶς τε καὶ εἰρηφιλοῦμεν. ἡ δὲ θυσία, ζῶντος ἄρα χρήματος προσφορά· ζῶν δ' ὅμως οὐδὲν, εἰ μή τι ὑπὸ τῆς ἀλόγου ἐσχάθη· ἄλλως γὰρ τὸν ψιλὸν ἄρτον

θυσίαν ὑποκαλῶν, καὶ ψιλὸν, καὶ ἀμαθὲς, καὶ μὴ ἄξιον τῆς τῶν πατέρων ὀρθοδόξου μνήμης.

Ὁ μέγας Βασίλειος ἐν τῇ μυστικῇ εὐχῇ τοῦ χερουβικοῦ ᾀδομένου. Ἱκάνωσόν με Κύριε, φησίν, τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. Καὶ αὖθις· Ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος Χριστὲ ὁ Θεὸς ἡμῶν.

Καὶ αὖθις ἐν τῇ εὐχῇ τῆς προσκομιδῆς ἐπικαλεῖται· Ἐπίβλεψον, λέγει, ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου Ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν. Καὶ ἰδοὺ λέγει ἐνταῦθα λατρείαν, ἔνθα καλέσας αὐτὴν πρότερον λογικὴν καὶ ἀναίμακτον θυσίαν.

Εἶτα μετὰ τὸν ἁγιασμὸν τῶν τιμίων δώρων τὸν περὶ τῆς ἀψευδοῦς τοῦ Χριστοῦ παρουσίας λόγον

πλη-

πολλάκις ἐδήλωσεν, ἐν τῇ μυστικῇ εὐχῇ· διδάξον ἡμᾶς, φησι, ὁ Θεὸς ἡμῶν ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου· ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ Χριστοῦ σου. Καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν.

Καὶ πρὸ τῆς μεταλήψεως εὐχὴν τίθησι τοιαύτην. Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος.

Εἶτα τῆς μεταλήψεως τελειωθείσης· Εὐχαριστοῦμέν σοι, λέγει, Κύριε ὁ Θεὸς ἡμῶν ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων καὶ ἐπουρανίων σου μυστηρίων.

Καὶ ἀποσφραγίζων τὴν ἱερὰν λειτουργίαν οὕτω φησίν· Ἤνυσται, καὶ τετέλεσται ὅσον εἰς τὴν ἡμετέραν δύναμιν Χριστὲ ὁ Θεὸς ἡμῶν τὸ τῆς σῆς οἰκονομίας μυστήριον. Ἐνεπλήσθημεν τῆς ἀτε-

ατελευτήτῳ ζωῆς, ἀπολαύσωμεν τῆς ἀκατα-παύστου ζωῆς, ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάν-τας ἡμᾶς καταξιωθῆναι εὔχομαι.

Αὕτη δὴ ταῦτα περιέχει λαμπρῶς καὶ ἡ θεία τοῦ Χρυσοστόμου λειτουργία.

Λέγω δὲ Βασιλείου καὶ Χρυσοστόμου λειτουργίας, οὐχ ὡς ἀπ' αὐτῶν ἀρξαμένης ἢ ἐπινοηθείσης τῆς θειοτάτης τελετουργίας. δῆλον γὰρ ἐξ ὧν προειρήκαμεν τοῦ Βασιλείου φωνῶν ἐν τῇ μυστικῇ τῆς ἱερουργίας εὐχῇ, καὶ τῆς τοῦ Ἀρεοπαγίτου διδασκαλίας ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας κεφ. μυστηρίου συνάξεως, ἤτοι Κοινωνίας· ἔκ τε τῶν Ἰουστίνου τοῦ μάρτυρος, καὶ Ἀθανασίου τοῦ μεγάλου ἀπολογιῶν, τὴν ἱερὰν τῆς λειτουργίας τελετὴν εἶναι τοῖς χριστιανοῖς ἀποστολοπαράδοτον· ἀλλ' ἐπειδὴ Βασίλειος καὶ Χρυσόστομος τὴν εὐχὴν τὸ μῆκος συντεμόντες σαφεστέρᾳ διδασκαλίᾳ ὅλως ποιοῦ ἔχουσιν, ἐν τούτῳ τὴν τῶν ἱεραρχῶν ἐπωνυμίαν ἔλαχεν. διὸ δὴ καθίσταται προδηλότατον, πόσου ἄξιον ἐστι τὸ ἐν τοῖς τῆς λειτουργίας ἐμπεριεχόμενον, ὅσον τῶν Ἀποστόλων τὸ αὐτὸ περίφωνον κήρυγμα, ὅσον τῆς καθόλου ἐκκλησίας ἡ ἀΐδιος πίστις, ὅσον μαρτυρίας ἱ-

ςιυ-

στικὴν ἰσχυροτέραν βεβαίωσιν.

Τί δ' αὖ ἐστιν ἡ Καλλίνικος πρὸς τὴν τῶν προηγιασμένων λειτουργίαν, ἥτις καὶ μόνη ἀποσφραγίζει τὸ ἀπεμφαῖνον τῆς ἀσεβείας αὐτῶν; ἐν ταύτῃ γάρ, ὡς φησιν ἡ φυσικὴ ἑρμηνεία, τετελειωμένη ἐστὶν ἡ θυσία. καὶ ὅτι μέλλει γίνεσθαι ἡ εἴσοδος τῶν ἁγίων, προλέγεται ἡ εὐχὴ αὕτη· διαπέτασον, καθάρισον, δυσωποῦμέν σε τὸν ἐν ὑψίστοις πλούσιον ἔλεον γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίωσον ἡμᾶς ἐπιτυχεῖν τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν τοῦ βασιλέως τῆς δόξης. ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ σῶμα καὶ τὸ ζωοποιὸν αἷμα κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει τραπέζῃ, ὑπὸ πλήθους στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα.

Εὐχὴ μετὰ τὴν ἀπόθεσιν ἀρχή.

Ο τῶν ἀῤῥήτων καὶ ἀθεάτων μυστηρίων Θεός, ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν, καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου φιλανθρωπίαν εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων·

 αὐ-

αὐτὸς δέσποτα βασιλεῦ ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐν ᾧ ὁ μονογενής σου Υἱὸς καὶ Θεὸς ἡμῶν ἀπὸ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων. Ἵνα ἐν καθαρῷ συνειδότι τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καὶ ἐπ' αὐτοῖς ζωοποιούμενοι ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ εἰπόντι. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος τοῦ Λόγου σου Κύριε γενώμεθα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου Πνεύματος.

Τῆς αὐτῆς ἐννοίας ἔχονται καὶ αἱ μεθεπόμεναι εὐχαί. Ἆρα γε τολμήσουσιν ἀντιφθέγξασθαι πρὸς ταῦτα οἱ Καλβινισταὶ καὶ τῶν Γραικῶν καταψεύδεσθαι ὡς αὐτοῖς ὁμοφρονούντων; Ἀμφιβάλλεις γάρ, εἰ περὶ τῆς τῶν μυστηρίων ἐξαιρουμένης καὶ πάσης χρήσεως πιστεύουσι καὶ ὁμολογοῦσιν οἱ ἀνατολικοὶ τὴν ἀληθῆ παρουσίαν τοῦ Χριστοῦ ἐπὶ τοῖς ἱεροῖς συμβόλοις, ἀπογνώσει δεῖν ὀφθαλμοὺς μὴ καθορᾶν τὸν ἥλιον.

Τρίτον ἐκ τοῦ ἐναντίου παρακελεύεσθαι ἀθείας ὕλης· Καθὼς γὰρ τοὺς Καλβινιστὰς ἐν τῇ μεταλήψει ὄντας τῆς παρουσίας τοῦ Χριστοῦ, λόγον κοινωνίας ἔχειν μόνον τὴν Εὐχαριστίαν, ἀναιμάκτου δὲ θυσίας οὐδαμῶς, καὶ τὰ διὰ τὸν λόγον τῆς θυσίας κατονομαζόμενα τελετὴν προσφορὰν, λέξιν λογικὴν, καὶ ἱερουργίαν. ὅτι γοῦν ἡ ῥῆσις τῶν Καλβινιστῶν ὑφορῶντες βλασφημίαν, ὡς ἐκ βάθρου ἀνατρέπουσα ὅλην τὴν ἱερὰν λειτουργίας τὴν μυσταγωγίαν, καὶ ψιλὰς μόνον προστιθεῖσα καὶ ταῖς οἰκουμενικαῖς καὶ ταῖς τοπικαῖς συνόδοις, καὶ ἀντιλέγουσα τῇ συμφώνῳ πάντων τῶν ἐν ὀρθοδοξίᾳ λαμψάντων διδασκάλων ὁμολογίᾳ.

Ὁ δὲ θεῖος Χρυσόστομος ἐν τῷ κατὰ Ἰουδαίων λόγῳ τοῦ Εὐαγγελικοῦ πολιτεύματος τὴν ἀληθινὴν ἀπόδειξιν ἀρχαίας ἐμφαίνει διὰ τὸν λόγον τῆς ἀναιμάκτου θυσίας ἐκ τοῦ προειρημένου Μαλαχίου τοῦ προφήτου· Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. Καθαρὰ, λέγει ὁ ἅγιος, ὅτι διὰ τῆς τοῦ Πνεύματος προσάγεται χάριτος· ὡς εἴ τις, φησὶν, παραβάλοι τὰς θυσίας, πολλὴν τὸ μέσον εὑρήσει καὶ ἄπειρον, καὶ τοσοῦτον,

ὅς

ὡς τὴν ἡμετέραν κυρίως μόνην, καὶ τὸν τῆς συγκρίσεως λόγον λέγεσθαι καθαρόν, ἢ τοῦτο τὸ κεφάλαιον κατὰ τὸν δ. λόγον αὐτοῖς ἐπεξήγειν ἀζεται. πόθεν οὖν τοῖς Καλβινισταῖς τὸ λίαν παρρησιαστικῶς βλασφημεῖν, εἰ μὴ ἐξ ὑποβολῆς τοῦ τῆς γεέννης ἐμπνευσομένου δ' ἐλθόντος;

Τέταρτον ἀληθὲς ὅλως, ὅτι παρουσίαν τοῦ Χριστοῦ ὁμολογοῦσιν οἱ Καλβινισταὶ ἀληθῆ καὶ πραγματικήν, ἀλλ' ἣν ἡ πίστις αὐτοῖς περιβάλλεται.

Καὶ τίς ἂν μὴ ὑπερθαυμάσειε τὴν γενναίαν ταύτην δῆθεν παρουσίαν; Τοῦτο γὰρ τοιοῦτόν ἐστιν ἀντικρὺς τὸ λέγειν· οὐδὲν ἀληθὲς δοκοῦμεν ἢ φαντάζεσθαι δοκοῦμεν· ἀλλὰ ταῦτα μακρολογοῦσιν ἑαυτοῖς. ἀπαιτοῦμεν οἱ Καλβινισταί, εἴπερ τὴν αὐτὴν αὐτοῖς νοοῦσι πίστιν ἡ ἐκκλησία τῶν Γραικῶν, τί δήποτε τοῖς νηπίοις βρέφεσι μεταδίδωσι τῆς κοινωνίας; τοῖς γὰρ νηπίοις βρέφεσιν οὐ δύναται περιβάλλειν ἡ πίστις τὴν παρουσίαν τοῦ Χριστοῦ. ἄλλον ἄρα τρόπον πιστεύουσιν οἱ Γραικοὶ τὴν παρουσίαν τοῦ Χριστοῦ, δηλαδὴ οὐσιωδῶς καὶ αὐτοπροσώπως, ἀλλ' οὐ τῇ πλασματώδει, καὶ ἀνυπάρκτῳ ἀπὸ τῆς νοήσεως παρουσίᾳ. ἄλλως γὰρ ἂν ὅπερ

ἐνσω-

ἐνστάζουσι ταῖς τῶν νεογνῶν χείλεσιν, ὥσπερ οἱ ἐν ἐρήμοις. οἱ δὲ τοῦτον τὸν βουλῇ κοινωνίαν, εἴτε καὶ τὸ ὑπὸ θηλῆς γάλα κοινωνίαν.

Εἰ δὲ ὅλως τῶν πισματίων, ἐπειδὴ ἡ αὐτο-προαίρετος παρουσίαν ἐγκαίρως ἀδιαίρετον οἱ Καλβινισταὶ, μὴ βουλόμενοι αἰχμαλωτίσαι τὸ ἑαυτῶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ νομίζοντες ὑπὲρ αὐτοὺς ἔξω καλυπτομένου, τῇ καὶ τῇ πανσόφῳ δόξῃ τοῦ Θεοῦ ἀνασκευάζοντες· ἴσως παραλλήλως γράμμα βλασφημίας ἑαυτοὺς ἐξεγείραντες τοὺς πάλαι γενομένους ἐφευρετὰς τῶν αἱρέσεων.

Ὁ μανιώδης Ἄρειος τύφῳ ἐπαρθεὶς ὑπερβολῇ τὸν Λόγον τὸν ἑαυτοῦ χαλινωσάμενος, καὶ μίαν τοῦ Λόγου ὑπάρχειν καὶ τῆς γεννητῆς οὐσίας μὴ μετεχόμενον, τὴν ἑνότητα τῆς ὁμοουσίου Τριάδος εἰς ξένα διῄλασε.

Νεστόριος ὁ ἰουδαιόφρων λυπήσας τὸν Χριστὸν, τὸ τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως ἄτομον ἰδιοϋπόστατον ἐφαντάζετο, ὡς ἀδιαιρέτως ἐν ἄλλοις ἔχειν.

Εὐτυχὴς ὁ δυστυχέστατος, καὶ Διόσκορος ὁ κακόφρων πλαζόμενοι πνεύματι ἐπιχειροῦσι μίαν ἐπὶ τῆς σαρκώσεως φύσιν ἀδιαιρέτως ἐν σώ-

μάτι

ματίζειν. Καί τοι γε ἐνὸν ἦν διελέγξαι προ-
φέρῳ τινὶ ἀποδείγματι ἀπαξαπλῶς τὴν ταύ-
την πλάνην ἀνθρωπίνοις λογισμοῖς χρησαμέ-
νον. οἱ δὲ Καλβινισταί, οἱ ἑκάστας ἄκοντας τὰς
Γραικοὺς ἐπὶ ταῦτα προσκαλούμενοι, πάντως ἔχου-
σι τῆς πολυφρόντου διδασκαλίας τῶν ἀνατολι-
κῶν πατέρων μαθεῖν ἐπιστημονικοῦ, οἱ ἐξ
τῆς τοῦ Θεοῦ παντοκρατορικῆς δυνάμεως ἢ
παρ' ῥῆμα δυνατοῦ, ἐνδέχεται τὸ αὐτὸ καὶ
ταυτὸν ἐν πλείοσι γενέσθαι τόποις.

Διηγεῖται ὁ μέγας φωστὴρ Γρηγόριος ὁ Θεο-
λόγος ἐν τῷ εἰς τὸν ἑαυτοῦ πατέρα ἐπιταφίῳ
ἐγκωμίῳ τῆς μεγάλης ἐκείνης ἄξιον γλώττης,
διὰ τοῦ ὄντι Θεοῦ βεβαιοῦν τὴν εὐσέβειαν. Ἐκά-
μνε, φησίν, αὐτοῦ ὁ πατήρ· καὶ ὁ καιρὸς ἦν τὸ
ἅγιον πάσχα, ἡ βασίλισσα τῶν ἡμερῶν ἡμέρα,
καὶ ἡ λαμπρὰ νύξ, καθ' ἣν ἡμεῖς ὑπὸ πλήθει
φωτὶ τὴν σωτηρίαν ἡμῶν προλάζομεν. ἦν δὲ
τὸ πάθος, πυρετὸς σφοδρὸς καὶ δριμύς, ἠ-
ναγκάσθη δὲ ἐπὶ ἐξόδου τέχνης, ὅτι ἐκείνου ἀρχή.
Ἡμᾶς δὲ εἶχε, φησί, τὸ περὶ μυστηρίου καὶ
ἱκέτας, ἐπειδὴ τῶν ἄλλων ἀπεγνώκαμεν ἀ-
πάντων, πρὸς τὸν μέγαν ἱερέα, καὶ τὴν τῆς
νυκτὸς ἐκείνης δύναμιν καταφεύγοντες. καὶ

τῶν

Ταῦτα μὲν ἀρχιερεύσαντος, λέγει, τῆς ἱερᾶς Μαρίας, καὶ ἀνακεκρουμένης τὸ τύμπανον. Τί οὖν ἐνταῦθα ὁ τῆς νυκτὸς σκότος, καὶ τὸ καμίνου Θεός; φρίττω ὑπέρχεταί μοι φασὶν τοῖς ἑξῆς προσιόντι τοῦ διηγήματος. φρίττετε δὲ καὶ ὑμεῖς οἱ ἀκούοντες. μὴ ἀπιστεῖτε δέ, ὦ θαρρεῖτε, ἡμῶν τε περὶ ὅλων διηγουμένων. παρῆν ὁ τοῦ μυστηρίου καιρός, καὶ ἡ σεβάσμιος στάσις καὶ τάξις, τοῖς τελουμένοις ἐφησυχάζουσα. ὁ δὲ ἀρχηγὸς τοῦ ζωοποιοῦντος ἱεροῦ σώματος διανίσταται· μικρὸν ὑποκλίνεται πρῶτον, εἶτα στερρότερον, εἶτα κλίνας τὴν ἀρχὴν ἀφρόντιστον τινὰ θεραπευτικὸν ἐξ ὀνόματος μικρὸν πάνυ καὶ ἀμυδρῷ τῇ φωνῇ παρέρχεταί τε ἢ ὀλίγον ἄθλον, καὶ χεῖρας ὑπέχων σκέλλουσι. Καὶ ὡς παρὰ μὲν τὸν ἐκπλήξεως, καὶ ὑπηρέτης προθύμως. καὶ ὥς τις βακτηρίᾳ τῇ χειραγωγίᾳ χρησάμενος μιμεῖται τὸν ἐπὶ τοῦ ὄρους Μωϋσέα, καὶ τὰς παραμένας χεῖρας τῆς ἀγκάλης σχηματίσας συντελεῖ προθύμως, ὁ προστελεῖ τε λαοῦ τὸ μυστήριον ῥήμασι μὲν ὀλίγοις, καὶ ὅσοις ἴδωσιν, ἀξιοπίστοις δὲ ὡς ἱερὰ δ' ὅσως καὶ λίαν τελειοῦται. ὦ τοῦ θαύματος, ὦ τοῦ βήματος ἐπὶ βήματος, ὦ τοῦ θυσιαστηρίου θύτης, ἱερεῦ πρόσφερε τὴν τελουμένην.

νον. καὶ τοῦτο παρ' αὐτοῦ ἀντὶ τοῦ ἁγίου Πνεύματος, αὐτοῦ μὲν γινωσκομένου, τοῖς παροῦσι δ' οὐχ ὁρωμένου. Εἶτα ἐπιθεὶς τὸ τῆς Εὐχαριστίας ῥῆμα τὸ οὕτως ὡς ζωάνθεε, καὶ τὸν λαὸν καταλέγοντας, πάλιν τῆς κλίνης γίνεται, ἀνακαλεῖται τὸ Πνεῦμα, καὶ τὰ ἑξῆς. Ἐν τούτοις ὁ θεολόγος ἱερεὺς καθαρῶς, ὅτι τὸ θεανδρικὸν καὶ τὸ αἷμα ἔμελλεν ἁγιάζεσθαι, προφήκατο καὶ ἐν τῇ ἱερᾷ βασιλείᾳ τῆς ἐκκλησίας, καὶ τὸ αἷμα πρὸ ὀφθαλμῶν τοῦ εἶναι ὄντος καὶ ἁγιάζοντος αὐτὰ ἐπιτελέσαι. πόθεν οὖν δοκεῖ ἀδύνατον τοῖς Καλβινισταῖς, τὴν πηγὴν τῶν θαυμάτων, αὐτὸν τὸν Σωτῆρα Χριστὸν ἅμα μὲν καθέζεσθαι ἐκ δεξιῶν τοῦ Πατρός, ἅμα δὲ καὶ τοῖς ἱεροῖς περιέχεσθαι συμβόλοις;

Πέμπτον ἀληθείας γένος· οὐχ ἡ, φασί, παρουσία ἡ ἐπιτηδεῦσα διδάσκει τοῦ ἄρτου μεταποίησις.

Αὕτη τῶν βλασφημιῶν ἡ κορωνίς, καὶ ὄντως βλασφημιῶν βλασφημία, τοῦτο ἀναγράφειν ἐπὶ τὴν τελετὴν τῶν τελετῶν, ὡς ἐκ διδασκαλίας ὑποσυλλεγείσης τοῦ Ἀρεοπαγίτου ὀνόμασαι ἐν κεφαλαίῳ Μυστηρίου φωτίσματος τῆς ἐκκλησιαστικῆς ἱεραρχίας. Ἀναγράψας τῆς με-

μυστηριώδους τοῦ τε μυστικοῦ τοῦ ἑνὸς σώ-
ματος τῆς ἐκκλησίας, ἓν σῶμα οἱ πολλοί ἐσ-
μεν, οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχο-
μεν, φησὶν ὁ Ἀπόστολος. ἀπαγγελθείσης τῆς τῶν
τιμίων δώρων μεταβολῆς τοῦ ἡ πηγὴ τῆς
ζωῆς, τοῦ ἡ τελείωσις τῶν ἄλλων ἱεραρχικῶν
συμβόλων, ὡς ἐν τῷ αὐτοῦ χωρίῳ φησὶν ὁ Ἀρεο-
παγίτης, τοῦ δὲ ὅλως ἡμῶν ὁ Χριστιανισμός;

Εἶγε Κύριλλος ὁ τῆς νῦν Κωνσταντινουπό-
λεως πατριάρχης ἐξήνεγκε τὴν φρενοβλαβῆ ταύ-
την βλασφημίαν, ἴστω κηρύξας ἑαυτὸν τῆς ἀ-
νατολικῆς ἐκκλησίας προδότην, τοῦ ἀποστολι-
κοῦ κηρύγματος ἀποστάτην, καὶ τῇ διδασκαλεῖ-
τε ταῖς καινοφωνίαις τῶν Ζυιγλίων· ἀντιφθεγ-
γόμενος ταῖς ἁγίαις ἀποστολικαῖς παραδόσεσι καὶ δι-
δασκάλοις, μάλιστα δὲ τοῖς μεγάλοις σαλ-
πιγκταῖς τῶν ὀρθοδόξων δογμάτων, Χρυσο-
στόμῳ, καὶ Κυρίλλῳ Ἀλεξανδρείας. ἴστω δη-
μοσιεύσας ἑαυτὸν δυσσεβέστερον Νεστορίου τοῦ
νέου Ἰούδα, ἀφρονέστερον Μακαρίου τοῦ Ἀν-
τιοχείας τῶν Μονοθελητῶν προστάτου κακό-
φρονος, τῶν τε χριστιανοκατηγόρων Εἰκονομά-
χων βδελυρώτερον καὶ μιαρώτερον. τοσαύτην
γὰρ συνεσῶν αἱρέσεων ἐν τῇ ἐπιστολῇ, ὅπου ἰ-
δημία

δημία ἐς τοῦτο ἀσεβείας ἐλήλακεν, ὥστε τὸ θειό-
τατον τῶν μυστηρίων κακῶς ἀνέπλασμα.

Ὁ ἀνθρωπολάτρης Νεστόριος, ὡς ἰδεῖν ἔστιν ἐν τῇ α. πράξει τῆς γ. Συνόδου, τοῦτον τὸν τρόπον ἐπιχειρεῖ. Ἔλεγεν ὁ Χριστός, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ὁ τρώγων με, κἀκεῖνος ζήσεται. μὴ εἶπεν ὁ τρώγων μου τὴν θεότητα, καὶ πίνων αὐτήν, οὐκ ἂν εἶπεν· ἐπεὶ λαμβάνεται ἡ σάρξ, οὐχ ἡ θεότης, ἄρα ψιλὸς ἄνθρωπος ὁ Χριστός. Κύριλλος δὲ Νεστορίῳ ἐπιστέλλων ἀντιβοᾷ πρὸς ταῦτα· ὅτι τὴν ἀναίμακτον ἐν ταῖς ἐκκλησίαις τελοῦμεν θυσίαν, πρόσιμέν τε ταῖς μυστικαῖς εὐλογίαις, καὶ ἁγιαζόμεθα μέτοχοι γινόμενοι τῆς τε ἁγίας σαρκός, καὶ τοῦ τιμίου αἵματος τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, οὐχ ὡς σάρκα κοινὴν δεχόμενοι μὴ γένοιτο· οὔτε μὴν ὡς ἀνδρὸς ἡγιασμένου, ἀλλ᾽ ὡς ζωοποιὸν ἀληθῶς, καὶ ἰδίαν αὐτοῦ τοῦ λόγου. ἀρθείσης οὖν κατὰ τοὺς Καλβινικοὺς τῆς μεταβολῆς τοῦ ἄρτου καὶ τοῦ οἴνου, ποῖον ἔχει λόγον τοῦ Νεστορίου ἡ ἔνστασις καὶ τοῦ Κυρίλλου ἡ ἀπόκρισις.

Μακάριος ὁ Ἀντιοχείας, αἱρετικὸς μονοθε-
λήτης,

λέγεις, κατὰ τὴν ζ. τῆς ἑβδόμης Συνόδου πρᾶ-
ξιν ἀνεπιφθέγμως τὴν ὁμολογίαν τῆς ἑαυτῆς πί-
στεως, τοῖς ἰδίοις τοῦ Κυρίλλου κέχρηται περὶ τὸ
μυστηρίου λόγοις, ὃ μὴν διεύρημα τῆς ἀψευ-
δοῦς μαθητεύσεως μυστικῶς δακτυλοδεικτεῖ.

Ο σύλλογος τῶν Εἰκονομάχων ἐν τῷ ἱερῷ τῆς
ἁγίας ψηλαφωμένου· ἐν τῷ μέρει διηγου-
μένῳ μετὰ τῆς παραδεδομένης ἀποκαλύψεως προά-
χθεῖσα τῆς ζ. συνόδου ἡ ἕκτη πρᾶξις· εἰκόνα τοῦ
ζωοποιοῦ σώματος καλεῖ τὴν Εὐχαριστίαν.
καὶ τὰ μετ᾽ ὀλίγα ὁμολογεῖ, τὸν ἄρτον τῆς Εὐ-
χαριστίας γίνεσθαι θεῖον σῶμα μεταποιοῦντος τοῦ
ἐν μεταλήψει διὰ τοῦ κοινοῦ πρὸς τὸ ἅγιον τὴν
ἀναφορὰν ποιουμένου ἱερέως. Η δὲ παρακειμέ-
νη τῶν ὀρθοδόξων ἀπόκρισις πρὸς τὸ δ᾽ ἄτοπον
αὐτὸ φησίν, μαρτυρεῖ αὐτοῖς ἀπολείπει τῆς ἀλη-
θείας, μέμφεται δὲ ὅμως πληκτικώτερα ὡς εἰ-
ρηκόσιν εἰκόνα τὴν ἀναίμακτον θυσίαν, αὐτὸ
τὸ σῶμα ὄντα καὶ αὐτὸ τὸ αἷμα. Τίς ἡ ξενο-
φωνία τῆς μεταλήψεως τοῦ ἄρτου, ἣν πάντες καὶ
κατὰ τὴν ὁμολογίαν τῶν Εἰκονομάχων ὁ ἱερεὺς διὰ
τοῦ κοινοῦ πρὸς τὸ ἅγιον, λαμβάνομεν αὐθεν-
τικῶς τὴν μετουσίαν;

Δῆλον γὰρ καὶ ἀναμφισβήτητον τοῖς ἀνατολικοῖς, οὐ μόνον τοῖς ὀρθὰ φρονοῦσιν ἀλλὰ καὶ αἱρετικοῖς, τὸ δηλωτικὸν ἐκεῖνο ῥῆμα· Τοῦτό μου ἐστὶ τὸ σῶμα. ἀεὶ δήποτε νενόηται καὶ παρειλῆφθαι ἁπλῶς κατὰ τὴν κυριωτάτην αὐτοῦ σημασίαν. διὸ δὴ τῶν πάντων οὐδείς ποτε διηπόρησε περὶ τῆς ἐνούσης τῷ θείῳ τούτῳ ῥήματι δυνάμεως, ἧς τεθείσης ἀκολουθεῖν ἀνάγκη πᾶσα τὴν μετουσίωσιν. Ἤδεσαν γὰρ πάντες τὸν Ὠριγένην πάλαι τοῖς ἁγίοις πατράσιν, ὅτε καὶ τῇ πέμπτῃ τῶν οἰκουμενικῶν συνόδων ἀπεκηρύχθη ὡς παραχαράκτην τῆς ἀληθείας, ἐπειδὴ τὸν ἑαυτοῦ νοῦν, ὥς φησιν ὁ μέγας Βασίλειος ἐν τῇ θ΄ τῶν εἰς τὴν ἑξαήμερον ὁμιλίᾳ, οὐχὶ τῇ γραφῇ ἐξεδίδαξεν ἀκολουθεῖν, ἀλλὰ πρὸς τὸ οἰκεῖον βούλημα διέστρεψε τῶν γραφῶν τὴν ἔννοιαν. Καὶ αὖθις ἐν τῇ γ΄ ὁμιλίᾳ σιωπῶν τὸ Ὠριγένους ὄνομα περιφράσει, φησὶν, ἀναγωγῆς καὶ νοημάτων ὑψηλοτέρων εἰς ψιλὰς δηλονότι ἀλληγορίας καταφυγόντες καὶ ξενικὰς σημασίας. ἀλλὰ τοὺς τοιούτους λόγους, φησὶν, ὡς ὀνειράτων συγκείσεις καὶ γραώδεις μύθους ἀποπεμπόμεθα. ὁ γὰρ τῆς γραφῆς λόγος παρὰ τῶν νοῦν ἐχόντων

τεθε-

τεθεωρημένως ἐκλαμβάνεσθαι, ἢ παραδέχεσθαι ἐθέλει.

Οὕτω καθαψάμενος τοῦ Ὠριγένους ὁ μέγας πατὴρ ἅμα τὰς τροπικὰς παρερμηνείας, ἐν τοῖς κατ' ἐπιτομὴν ὅροις ... ἐρωτήσει. Ποταπῷ φησι, φόβῳ, ἢ ποίᾳ πληροφορίᾳ μεταλαμβάνομεν τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ; Ἀποκρινόμενος δὲ λέγει.

Τὸν μὲν φόβον διδάσκει ἡμᾶς ὁ Ἀπόστολος λέγων· ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. τὴν δὲ πληροφορίαν ἐμποιεῖ ἡ πίστις τῶν ῥημάτων τοῦ Κυρίου εἰπόντος. Τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενος. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Καὶ Χρυσόστομος ὁ θεῖος ἐν τῷ εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, καὶ τὴν παράδοσιν τοῦ μυστηρίου· πάρεστιν ὁ Χριστός, λέγει, καὶ νῦν ἐκεῖνος ὁ τὴν τράπεζαν ἐκείνην κοσμήσας, καὶ ταύτην διακοσμεῖ νῦν. οὐ γάρ ἐστιν ἄνθρωπος ὁ ποιῶν τὰ προκείμενα γενέσθαι σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ' ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν Χριστός. σχῆμα πληρῶν ἕστηκεν ὁ ἱερεὺς τὰ ῥήματα ἐκεῖνα φθεγγόμενος τῆς προσευχῆς, ἡ δὲ δύναμις καὶ ἡ χάρις τοῦ θεοῦ ἐστι. Τοῦτό μου

ἐστὶ τὸ σῶμα, φησίν. τοῦτο τὸ ῥῆμα τὰ προκείμενα μεταῤῥυθμίζει.

Καὶ τῇ πβ. εἰς τὸ κατὰ Ματθαῖον ὁμιλίᾳ· ὑπηρετῶν, φησί, τάξιν ἐπέχομεν ἡμεῖς, ὁ δὲ ἁγιάζων αὐτὰ καὶ μετασκευάζων αὐτός ἐστι.

Ἐν δὲ τῇ ἱερᾷ λειτουργίᾳ μετὰ τὴν τελείωσιν τῶν ἁγίων δώρων διὰ τῶν δεσποτικῶν ῥημάτων ἐπιφέρει καὶ Βασίλειος καὶ Χρυσόστομος, δῆλον ὡς ἐξ ἀποστολικῆς ἐν παραδόσεως τό, Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ, ἵνα δὴ τοῦ ἁγιασμοῦ διὰ μεταβολῆς γινομένου.

Ταύτην δὴ οὖν τὴν παρ' ἀνατολικοῖς γεραρὰν καὶ ἀμετάθετον, καὶ ἀποστολικὴν πίστιν, ὅτι διὰ μεταβολῆς τελεῖται τὸ μυστήριον, ἀθετοῦσί τινες οἱ τοῦ ἀθεολόγου καὶ κακοδογματιστοῦ Καλβίνου οὐ φρίττουσιν ὑπερφρονεῖν, καὶ τὸ θεοπαράδοτον δόγμα τῶν Χριστιανῶν ἀποκαλεῖν ἀνάπλασμα;

Εἴτε γὰρ πρὸς τὴν δύναμιν τοῦ εὐαγγελικοῦ ὕφους ἀπίδοις, εἴτε τὴν λέξιν τὸ ἰδιοσήμαντον, ὁ λόγος τοῦ Χριστοῦ, Τοῦτό μου ἐστὶ τὸ σῶμα· οὐκ ἐπιδέχεται σημασίαν, εἰ μὴ τὴν ἁπλῶς καὶ αὐτόθεν παρεμφαινομένην. Σημα-

χεται,

χθντο, φησὶν ὁ θεολόγος Ἰωάννης, πρὸς ἀλλή-
λους οἱ Ἰουδαῖοι περὶ τοῦ πῶς ἐστι δυνατὸν φα-
γεῖν τοῦ Χριστοῦ τὴν σάρκα, νομίζοντες ἀληθῆ
καὶ ἀδιάλειπτον σαρκοφαγίαν, ἢ τὴν τῶν με-
ταφορικῶν διὰ πίστεως ἑρμηνευομένην. διὸ ὕσ-
τερον γὰρ ταῦτ' εἴρηται, Σκληρός ἐστιν οὗτος ὁ λόγος,
τίς δύναται αὐτοῦ ἀκούειν, καὶ ἐκ τούτου φησὶ,
πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπί-
σω. οὐ μὴν ὁ Σωτὴρ ἐκεῖνα μόνα τοὺς ἀκροω-
μένους ἐδίδασκεν, ἃ φέρειν ἐδύναντο· ἔλεγε
γάρ, ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύ-
νασθε βαστάζειν ἄρτι· πῶς οὖν τότε ἐφαίνετο
ἀποσκευαζόμενος τοὺς σκανδαλισθέντας Ἰουδαίους·
ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν
σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ
τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. τοῦτο
γὰρ εἰπὼν οὐ μόνον οὐκ ἀπήλλαξε τοὺς σκαν-
δαλισθέντας τῆς τοῦ σκανδάλου ὑπονοίας,
ἀλλὰ καὶ μᾶλλον ἐπηύξησε καὶ προσεβεβαίω-
σε τὴν ὑπόνοιαν, ὀφείλων μὲν ἐπαναλαβεῖν
τὸν λόγον, ἀναμφίβολον δὲ τὴν ὑπόνοιαν
καταστησάμενος κατὰ τὴν ἔννοιαν τῶν σκανδαλι-
σθέντων.

Καίτοι ἀνάξιον τοῦτο τῆς αὐτοσοφίας τοῦ Θεοῦ ἅπερ οἱ Καλβινοφρονοῦντες ἐληλύθασι, ποῦ γὰρ ἦν εὔλογον καταβαλλομένου τοῦ Σωτῆρος τό τε τῆς ὀρθοδοξίας τὰ σπέρματα μὴ γυμνὴν καὶ φανερὰν παραδοῦναι τοῦ τοιούτου μυστηρίου τὴν ἀπροσδιόριστον σαφήνειαν, ἀλλὰ τινὰ ἄλλως παραχεῖν ἀσαφῆ τινα ἑρμηνείαν σκανδάλου, δι' ὃ πολλοὶ τῶν μαθητῶν ἀπῆλθον εἰς τὰ ὀπίσω;

Νῦν δὲ ἱκανὸν ἐνόμισε λέγειν ὁ Σωτὴρ περὶ τῆς ἑαυτοῦ σαρκός, ἵν' ὥς φησι Χρυσόστομος, ἐνδείξηται τοῖς Ἰουδαίοις, ὅτι τὸ μάννα τύπος ἦν καὶ σκιά, ἡ δὲ τῶν πραγμάτων ἀλήθεια ἦν αὐτὸς ἐκεῖνος, ὅπερ ἐκ διαμέτρου ἀντίκειται τοῦ Καλβινισμοῦ. ἐκ τῆς εὐαγγελικῆς ἄρα διηγήσεως ἐλέγχεται ἀθέμιτος ἡ Καλβινοδίδακτος παρουσία τοῦ Χριστοῦ διὰ πίστεως, καὶ ἀνάγκη πᾶσα ὁμολογεῖν ἐν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας παρεῖναι τὸν Χριστὸν οὐσιωδῶς καὶ αὐτοπροσώπως διὰ τῆς γινομένης μεταβολῆς.

Τοῦτ' αὐτὸ ἀναγκάζει φρονεῖν καὶ λέγειν τῆς γραμματικῆς συντάξεως ἡ ὀρθότης, ἐπειδὴ γὰρ ἔχει χώραν ὁ τροπικὸς νοῦς, ἔνθα δύο παραλαμ-

λαμ-

λαμβάνονται ὀνόματα οὐσιαστικά, οἷον, Ἡ δὲ πέτρα ἦν ὁ Χριστός. διὰ τοιούτων γὰρ ὀνομάτων δηλοῦται συνδεσμὸς πραγμάτων φύσει διαφερόντων. ὁ γοῦν οὕτως ἐκλαβεῖς τό, Ἡ δὲ πέτρα ἦν ὁ Χριστός, ὡς αἱ λέξεις κυρίως σημαίνουσιν, ὥστε καὶ τὸν Χριστὸν οὐσίαν ἀναίσθητον, κακῶς τροπικῶς τὸ τοιοῦτο ἐκλαμβάνει. οἷον καὶ τό, Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ· αἱ ἄκανθαι ὁ πλοῦτος, αἱ μέριμναι καὶ ἡδοναὶ τοῦ βίου· Καλὴ γῆ οἱ ἐν ἀγαθῇ καρδίᾳ τὸν λόγον κατέχοντες, καὶ καρποφοροῦντες ἐν ὑπομονῇ. ὅπου δὲ διὰ δεικτικῆς ἀντωνυμίας ὁ λόγος ἐκφέρεται, ἐπεὶ οὐ δύο πραγμάτων συνδεσμὸν, ἀλλὰ πράγματος ἑνὸς σημαίνεται ἔνδειξις, οὐκ ἔστι τροπικῶς λαβεῖν τὴν διάνοιαν, οἷον ἐν τῷ, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν, καὶ τοῖς ὁμοιοτρόποις.

Εἰ τοίνυν εἰρηκὼς ὁ Χριστός, ὁ ἄρτος οὗτος ἐστὶ τὸ σῶμά μου, ἦν ἄν τις ἴσως τοῖς τοῦ Καλβίνου μύσταις συμφερομένη τῇ κακῶς φερομένῃ προφάσει. νυνὶ δὲ, Τοῦτό μου ἐστὶ σῶμα, πᾶσαν ἀντίληψιν περιΐστησι· Καὶ δῆλον, ὅτι καὶ τῆς κυριολεξίας ἡ ἔμφασις, καὶ τῆς εὐαγγελικῆς ἀλ-

ἀληθείας ἡ δύναμις, καὶ τῶν Ἀποστόλων ἡ παράδοσις, καὶ τῆς καθολικῆς ἐκκλησίας ἡ γνησία πίστις, καὶ τῆς ἱερᾶς λειτουργίας ἡ ἀξιόπιστος χρῆσις, καὶ πάντων τῶν θεοπνεύστων διδασκάλων ἡ σύμφωνος ἀπόφασις βιάζεται ὁμολογεῖν, τοῖς ῥήμασι τοῖς δεσποτικοῖς μὴ ἐνδέχεσθαι ποιοῦ ἑτέρου ἐνθεωρεῖσθαι ἢ τὸν σημαινόμενον κατὰ τὸ γράμμα. τοῦτον καὶ τὸν τρόπον σημαντικὸς ὤν, καὶ ἐνεργής ἐστιν ὁ τοῦ Χριστοῦ λόγος, ὥς φησιν ὁ Χρυσόστομος ἐν τῷ εἰς τὴν προδοσίαν λόγῳ· ὅτι χρῆμα πληροῖ ἱερεὺς τὰ δεσποτικὰ φθεγγόμενος ῥήματα· ἐκεῖνα γὰρ ἅπαξ ῥηθέντα τοῦ Χριστοῦ, ἐξ ἐκείνου καὶ μέχρι τῆς αὐτοῦ παρουσίας καθ' ἑκάστην τράπεζαν ταῖς ἐκκλησίαις ἁγιάζει τὴν θυσίαν, τοῦ ἱερέως δηλαδὴ πάλιν ἐκεῖνα φθεγγομένου. ἐπειδὴ λοιπὸν ὁ σημαίνει ὁ τοῦ Χριστοῦ λόγος καὶ σημαινόμενον σῶμα, καὶ ἄρτου οὐσίαν, μεταποιεῖ ἐξ ἀνάγκης τὴν οὐσίαν τοῦ ἄρτου εἰς θείου σώματος οὐσίαν· καὶ τοῦτο ἐστὶν ἡ μετουσίωσις, μυστήριον τῆς παραδεδομένης μεγαλοπρεπείας τοῦ Χριστοῦ τῷ ὄντι θαυμαστόν, καὶ λόγῳ ἀνέκφραστον, καὶ λογισμοῖς ἀνθρωπίνοις ἀπερινόητον.

Ἐκτὸς

Ἐντεῦ ἀθέας γένος· Πιστεύομεν, φασὶ, τοὺς πιστοὺς ἐσθίειν τὸ σῶμα τοῦ Χριστοῦ, τῇ σωματικῇ ὀδόντι μηδαμῶς καταμασωμένους, ἀλλὰ τῇ αἰσθήσει τῆς ψυχῆς ἀντιλαμβανομένους.

Ἀλλ' οὐχ οὕτως πιστεύειν οἱ Χριστιανοὶ δεδιδάγμεθα. Τοῦτο τὸ πρᾶγμα πολλαχοῦ τῶν αὐτοῦ λόγων διαρρήδην ὁ Χρυσόστομος, ἐμφανίσας ἐν τῇ ὁμιλ. πδ'. εἰς τὸ κατὰ Ματθαῖον ὁμιλίᾳ, καὶ τῇ ὁμιλ. μϛ'. εἰς τὸ κατὰ Ἰωάννην. ἵνα, φησὶ, μὴ μόνον κατὰ τὴν ἀγάπην, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα εἰς τὴν τοῦ Χριστοῦ ἀνακερασθῶμεν σάρκα, διὰ τῆς τροφῆς τοῦτο γίνεται ἧς ἐχαρίσατο. διὰ τοῦτο ἀνέμιξεν ἑαυτὸν ἡμῖν, καὶ ἔφυρε τὸ σῶμα αὐτοῦ εἰς ἡμᾶς, ἵνα ἕν τι γενώμεθα, καθάπερ σῶμα κεφαλῇ συνημμένον. καὶ τὸν ἑαυτοῦ πόθον ἐνδεικνύμενος τὸν πρὸς ἡμᾶς, οὐκ ἰδεῖν μόνον αὐτὸν παρέσχε τοῖς ἐπιθυμοῦσιν, ἀλλὰ καὶ ψαῦσαι, καὶ φαγεῖν, καὶ ἐμπῆξαι τοὺς ὀδόντας τῇ σαρκί, καὶ συμπλακῆναι, καὶ τὸν πόθον ἐμπλῆσαι πάντα.

Μήπως δὲ τις ἀμφιβάλλῃ ἕνεκα τοῦ τὸ θεῖον Σῶμα ἐν τῇ μεταλήψει διαμασᾶσθαι καὶ σπαρ-

ράτ-

[illegible], [illegible] ὁ Χρυσόστομος τὰ ῥήματα ἐκεῖνα τοῦ κυρίου Ἰωάννου ὑπομνήμασιν· Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει. Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι, καὶ ζωή ἐστι.

Πνεῦμα, φησί, καὶ ζωή, τουτέστι θεῖα καὶ πνευματικά, οὐδὲν ἔχοντα σαρκικόν, οὐδὲ ἀκολουθίαν φυσικήν, ἀλλ' ἀπήλλακται πάσης τοιαύτης ἀνάγκης, καὶ ὑπέρκειται τῶν ἐνταῦθα κειμένων νόμων ἕτερον ἔχοντα νοῦν ἐξηλλαγμένον. ὥσπερ οὖν ἐνταῦθα τὸ πνεῦμα εἶπε, ἀντὶ τοῦ πνευματικά. οὕτω σάρκα εἰπὼν οὐ σαρκικὰ εἶπεν, ἀλλὰ τὸ σαρκικῶς ἀκοῦσαι. ἐὰν γὰρ αὐτὰ σαρκικῶς τις ἐκλάβοι, οὐδὲν ἀπώνατο. τί οὖν, οὐκ ἔστιν ἡ σὰρξ αὐτοῦ σάρξ; καὶ σφόδρα μὲν οὖν. καὶ πῶς εἶπεν, Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν; οὐ περὶ τῆς ἑαυτοῦ σαρκὸς λέγει· μὴ γένοιτο· ἀλλὰ περὶ τῶν σαρκικῶς ἐκλαμβανόντων τὰ λεγόμενα. Τί δέ ἐστι τὸ σαρκικῶς νοῆσαι; τὸ ἁπλῶς εἰς τὰ προκείμενα ὁρᾶν, καὶ μὴ πλέον τι φαντάζεσθαι· τοῦτο γάρ

κὶ σαρκικῶς. χρὴ δὲ μὴ οὕτω κρίνειν, τοῖς σ-
ωματικοῖς, ἀλλὰ πάντα τὰ μυστήρια τοῖς ἔνδον
ὀφθαλμοῖς κατοπτεύειν. τοῦτο γάρ ἐστι πνευ-
ματικῶς. ὁ μὴ τρώγων αὐτοῦ τὴν σάρκα, καὶ
μὴ πίνων τὸ αἷμα, οὐκ ἔχει ζωὴν ἐν ἑαυτῷ.
πῶς οὖν οὐδὲν ὠφελεῖ ἡ σὰρξ, [illegible]
ὄν; δῆλος, ὅτι τό, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν, οὐ
περὶ τῆς σαρκὸς αὐτοῦ εἴρηται, ἀλλὰ περὶ τῶν
σαρκικῶς ἀκροωμένων;

Εἰ τοίνυν ἔχουσιν οἱ Καλβινισταί, μὴ [illegible]
[illegible] τὸ [illegible] λαμβάνεσθαι τὸ
[illegible] σῶμα τοῦ Χριστοῦ, [illegible] αὐτὸ τοῖς [illegible]
[illegible] μεταχειρίζεσθαι. τοῦτο γάρ ἐστι σαρκικῶς
[illegible] τὸ μυστήριον. [illegible]
[illegible] τὸ μὴ [illegible] τοῖς [illegible]
[illegible] τὸ Χριστοῦ σῶ-
[illegible], ἀλλὰ [illegible] τῆς ψυχῆς [illegible]
[illegible] τὸ σῶμα [illegible]
[illegible]
[illegible] σαρκικὸν [illegible]
[illegible]
[illegible]
[illegible] τῆς [illegible]
[illegible] γὰρ [illegible] τοῦ [illegible]
[illegible] τὸ σῶμα τοῦ Χριστοῦ, ὁ [illegible]

κεντοῦνται δὲ ἡ θειότης τοῦ Χριστοῦ· κἀν τῇ Εὐχαριστίᾳ ὡσαύτως τὰ σύμβολα συντρίβεται τοῖς ὀδοῦσιν, ἀλλ' ἀπαθὴς μένει τὸ ἐμπεριεχόμενον τοῖς συμβόλοις. καὶ σαφεστάτη τούτου ἀπόδειξις τὸ ἐν τῇ θείᾳ λειτουργίᾳ λεγόμενον. Μέλλων γὰρ ὁ ἱερεὺς μελίσαι τὸν ἅγιον ἄρτον λέγει· Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος.

Αὕτη μὲν οὖν ἐστὶν ἡ ἀνάλυσις τῆς φρικωδεστάτης τῶν μυστηρίων ἀβύσσου. τίνι δὲ λόγῳ οἱ Καλβινισταὶ θαυμαστὸν τοῦτο καλοῦσιν, ἀπαρνούμενοι καὶ ἀθετοῦντες τὴν μεταποίησιν, μέγα δὲ θαῦμα καινὸν ἄρτον ἐσθίειν, καὶ τὸν Χριστὸν φαντάζεσθαι· πάντως οἱ Ἑβραῖοι καὶ ἄρτον τιμιώτερον ἐσθίουσι λαμβάνοντες, τοῦτο μὲν τῷ στόματι, ἐν ἑαυτοῖς δὲ Χριστὸν ἔχειν τὸν τότε προσδεχόμενον. ὥστε κατά γε τοὺς Καλβινιστὰς τὰ δόγματα Εὐχαριστία ἐστὶ καὶ τοῖς Ἑβραίοις τὸ μάννα. τί οὖν ὅλως διαφέρει, ἢ ἐνδυναμοῦνται, ἢ ὠφελοῦνται κατὰ τὸν Χριστὸν, εἴπερ ἡ διὰ πίστεως νόησις τοῦ Χριστοῦ συνίστησι τὸ μυστήριον,

Εβρα-

Ἕβδομον ἀθείας ἄλλης· ὅτι οὐκ ἔστι σῶμα Χριστοῦ τὸ ἐν τῷ μυστηρίῳ τοῖς ὄμμασι βλεπόμενον, ἀλλὰ τὸ πνευματικῶς τῇ πίστει νοούμενον, καὶ τῇ πίστει δεδεγμένον.

Τῆς αὐτῆς που ταύτης κακοφωνίας κατηγόρησεν δὲ καὶ ὁ μέγας παρ' Ἕλλησι φιλόσοφος, ἐν τῷ δευτέρῳ περὶ ψυχῆς οὕτω γράψας· κατὰ συμβεβηκὸς δὲ λέγεται αἰσθητόν, οἷον εἰ τὸ λευκὸν εἴη Διάρους υἱός, κατὰ συμβεβηκὸς γὰρ τούτου αἰσθάνεται. Ἡ τοίνυν οὐσία μὴ καθ' αὑτὴν οὖσα αἰσθητή, κατὰ συμβεβηκὸς ὁρᾶται, καὶ ὁρᾶται ὁ ἄνθρωπος ὁρωμένων τῶν συνυπαρχόντων αὐτοῦ συμβεβηκότων καθ' αὑτὰ αἰσθητῶν.

Ταύτης τε θεαρχικῶς τοῦ λόγου ὁ ἱερὸς Διονύσιος ἐν τῷ κεφαλαίῳ περὶ κοινωνίας τῆς ἐκκλησιαστικῆς ἱεραρχίας προσφυῶς ἔφησεν. ἀλλ' ὦ θειοτάτη καὶ ἱερὰ τελετὴ τὰ περικείμενά σοι συμβολικῶς ἀμφιέσματα τῶν αἰνιγμάτων ἀποκαλυψαμένη τηλαυγῶς ἡμῖν ἀναδείχθητι, καὶ τὰς νοερὰς ἡμῶν ὄψεις ἑνιαίου καὶ ἀπερικαλύπτου φωτὸς ἀναπλήρωσον. Καθάπερ οὖν ὁ φιλόσοφος ὁρᾶσθαί φησι κατὰ συμβεβηκὸς τὸν ἄνθρωπον, ὅτι ὁρᾶται τῶν συμβεβηκότων· οὕτω καὶ ὁ μεμυημένος διὰ τῶν ἀμφιεσμάτων, τουτέστι συμβε-

βεβη-

βεβηκότων μὴ ἐνυπαρχόντων. ἀλλὰ περικειμένων ἐμφαίνουσι τοῦ Χριστοῦ, καὶ καλύπτουσι τὴν θεοπρεπῆ τελετὴν ἀμφιέσμασι τῆς περικειμένης. πῶς οὖν τολμηρῶς καὶ ἀσεβῶς ἀποφαίνονται οἱ Καλβινισταὶ, τὸ ἐν τῷ μυστηρίῳ ὁρώμενον μὴ εἶναι σῶμα Χριστοῦ, ἅπερ ἀληθῶς ὁρᾶται διὰ τῶν περικειμένων ἀμφιεσμάτων;

Οὕτω γοῦν ἐν τῇ θείᾳ λειτουργίᾳ παρὼν ἐπὶ τῆς ἱερᾶς τραπέζης ἀοράτως λέγεται ὁ Χριστός. Καὶ αὐτὸς ὁ Σωτὴρ κατὰ τὸν Χρυσόστομον πνευματικῶς φησι λαβεῖν τὴν αὐτοῦ σάρκα, δηλαδὴ καὶ αὐτὸ μὲν ἀοράτως, κατὰ συμβεβηκὸς δὲ ὁρατῶς.

Διὸ δὴ πάλιν ἐν τῷ ι. περὶ μετανοίας λόγῳ ἐβόα ὁ Χρυσορρήμων. Μὴ ὅτι ἄρτος ἐστὶν ἴδῃς, μηδ' ὅτι οἶνος ἐστὶ νομίσῃς· οὐ γὰρ ὡς αἱ λοιπαὶ βρώσεις εἰς ἀφεδρῶνα χωρεῖ· ἄπαγε.

Καὶ Κύριλλος Ἱεροσολύμων ἐν τῇ μυσταγωγικῇ δ. κατηχήσει· ἐν τύπῳ, φησὶν, ἄρτου δίδοταί σοι τὸ σῶμα, καὶ ἐν τύπῳ οἴνου δίδοταί σοι τὸ αἷμα. εἰ γὰρ καὶ ἡ αἴσθησίς σοι τοῦτο ὑποβάλλει, ἀλλὰ ἡ πίστις σε βεβαιούτω. μὴ ἀπὸ τῆς γεύσεως κρίνῃς τὸ πρᾶγμα, ἀλλ' ἀπὸ τῆς πίστεως πληροφοροῦ ἀνενδοιάστως σώματος

καὶ αἵματος Χριστοῦ καταξιωθείς. Καὶ πάλιν· Πληροφορήθητι, ὡς ὁ φαινόμενος ἄρτος οὐκ ἄρτος ἐστί, κἂν τῇ γεύσει αἰσθητός, ἀλλὰ σῶμα Χριστοῦ. καὶ ὁ φαινόμενος οἶνος οὐκ οἶνος ἐστιν, εἰ καὶ ἡ γεῦσις τοῦτο βούλεται, ἀλλὰ αἷμα Χριστοῦ.

Ἐξ ὧν δὴ πάντως ἔνδηλον, κοινῷ ἀσεβείας φρονήματι κοινωνεῖν Ἰουδαίους τε καὶ Καλβινιστάς. Βούλονται γὰρ οἱ Καλβινισταί, ὥσπερ οἱ Ἑβραῖοι κακῶς ἐνόουν, σαρκικῶς ἐνόουν οἱ Ἑβραῖοι, καὶ σαρκικῶς βούλονται οἱ Καλβινισταὶ ἐσθίεσθαι καὶ λαμβάνεσθαι· δυσσεβῶς οἱ Ἑβραῖοι, δυσσεβέστεροι οἱ Καλβινισταί.

Οὐδ' ὅσον ἀληθείας ἅψεις· εἰ μέν, φασι, πιστεύομεν, ἐσθίομεν, καὶ μεταλαμβάνομεν. εἰ δὲ μὴ πιστεύομεν, οὐδὲν καρποφοροῦμεν.

Ἀλλ' ὑπὸ τῆς καλῶς σημαινούσης λέξεως κέκρυπται θανατηφόρον δηλητήριον· βούλονται οἱ Καλβινοσοφισταὶ διὰ πίστεως, οὐχ ὡς προσαπτομένης καὶ συναπτομένης γίνεσθαι τὴν κοινωνίαν· ἀλλ' ὅτι αὐτό τε πιστεύειν αὐτό ἐστι τὸ κοινωνεῖν, καὶ ἡ τῆς πίστεως ἐνέργεια ἐστὶν ἐνέργεια μεταλήψεως· ὥστε τῆς πίστεως τεθείσης παρεῖναι τὸν Χριστόν, μὴ τεθείσης δὲ παρ-

εἶναι

ἔργα μὴ ἐστί. εἰ δ' οὕτως ἔχει, πῶς ὁ Ἰούδας, ὡς φησὶν ὁ Χρυσόστομος ἐν τῷ εἰς τὴν προδοσίαν λόγῳ, προδότης ὢν ἄπιστος μετέχει τῆς ἱερᾶς θυσίας,

Τὸ δὲ καρποῦ στερεῖσθαι τὸν μὴ πιστεύοντα ἐκ ἐπιφέρεται, τὴν ἐνέργειαν τῆς πίστεως καὶ τὴν κοινωνίαν πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἐπεὶ κατὰ τὸν Χρυσόστομον ἐν τῷ ἐνθένδε λόγῳ, ἡ θυσία τροφὴ ἐστὶ πνευματική, καθάπερ ἡ σωματική τροφὴ ὅταν εἰς γαστέρα χυμοὺς ἔχουσαν πονηροὺς ἐμπέσῃ, πλέον ἐπιτείνει τὴν ἀῤῥωστίαν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς γαστρός· οὕτω δὲ, φησὶ, καὶ ἐπὶ τῶν μυστηρίων τῶν πνευματικῶν συμβαίνειν εἴωθεν. καὶ γὰρ καὶ ταῦτα ἐπειδὰν ἀδιανοίας ἐμπέσῃ πονηρίας γέμουσαν, μᾶλλον αὐτὴν φθείρει καὶ ἀπόλλυσιν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς δεξαμένης ψυχῆς.

Τὸ γοῦν καρποῦ στερεῖσθαι τὸν μὴ πιστεύοντα, ἔχεται δὲ οἰκείας ἀσεβοῦς, ἅπερ τοῦτ' ἐβούλοντο οἱ τοῦ Καλβίνου, τὸν μὴ πιστεύοντα μηδὲν ὠφελεῖσθαι τῇ οὐσιώδει παρουσίᾳ τοῦ Χριστοῦ. Νῦν δὲ τοῦτο μὲν οὐ βούλεται ἡ διάστρο-

φος

φος αὐτοῦ ἑρμηνεία· ἀλλὰ τὸν μὴ πιστεύοντα μηδὲ ὑποπτεύεσθαι, ὅτι κατ' αὐτοὺς οὐδὲν ἐστιν ἄλλο τὸ κοινωνεῖν ἀλλ' ἢ τὸ πιστεύειν, ὅπερ αἱρετικῆς ἐστι κακομυθίας ἐπίνημα.

Ἔνατον ἀθείας γένος· ὅτι ὁ Νομοθέτης καθὰ περὶ τοῦ σώματος, οὕτω δὴ καὶ περὶ τοῦ αἵματος ἐνετείλατο. ὧν τινα ἐντολὴν οὔτε ἐξασθενεῖν χρή, οὔτε κολοβοῦν πρὸς τὸ δοκοῦν ἀνθρωπίνῳ βουλήματι· μᾶλλον δὲ φυλακτέα ἐστὶν ἡ θεσμοθεσία, ὡς παρεδόθη ἡμῖν.

Ἐκ τῶν ἀναθεματισμῶν τοῦ Κυρίλλου, οἱ κατωτέρω παρεκτεθήσονται, σαφές ἐστιν, ὥσπερτοι καὶ τοῖς Καλβινισταῖς κοινὴν εἶναι τὴν δυσβλασφημίαν.

Ἀμαρτάνουσι μὲν οὖν πρῶτον ὁ Κύριλλος καὶ Καλβινισταί, ὅτι πάντοτε νομίζουσι τὸ μεταλαμβάνεσθαι τὸ σῶμα καὶ τὸ αἷμα, ὅπερ συνομοθέτησεν ὁ Χριστός· καὶ τὸ μεταλαμβάνειν πᾶσιν ἐν ἀμφοτέροις εἴδεσιν, ὅπερ οὔτε ὁ Σωτὴρ συνομοθέτησεν, οὔτε ἐκήρυξεν ὁ Ἀπόστολος.

Δεύτερον ἀμαρτάνουσιν, ὅτι τὸ ἐν θατέρῳ εἴδει κοινωνεῖν, ἀκρωτηριασμὸν καὶ κολόβωσιν τῆς

στολῆς εἴρηται ἐστὶ, ὅπερ καταγινώσκουσιν ὅλοι ἁπάσης τῆς ἀρχαιότητος.

Τρίτον ἁμαρτάνουσιν, ὅτι τὸ ἀσεβὲς καὶ καινὸν ἔθος τῆς δημοσίας γονυκλισίας ἐν θεατρικῷ εἴδει μετακλίνεις καλοῦσι σεβασμὸν πρὸς τὸ αὐθαίρετον δοκιμοῦ.

Τὰ τινα δὴ ταῦτα τῆς ἀσεβείας παραλημμάτων τούτων ἀποδείξεις.

Πρῶτον· ὅτι τὸ ἀδυνάτον ὅλως ἐστὶ, τοὺς θεοφόρους πατέρας, οἳ τὰς ἀποστόλους παραδεξάμενοι διέταξαν ἐν τῇ ἐκκλησίᾳ, ἠγνοηκέναι, ἢ μὴ μεμαθηκέναι τίνι τρόπῳ ὁ Χριστὸς ἐν τῷ Εὐαγγελίῳ προσκυνεῖν διωρίσατο. Ἀλλὰ μὴν ἔνδηλον ἐκ τῶν ἱστορικῶν ὑπομνημάτων, καὶ ὡς ἐν παραδείγματι ἀξιοῦν διηγεῖται ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ ζ. τῆς ἐκκλησιαστικῆς ἱστορίας, φέρων ἐπιστολῆς ἀποσπασμάτιον Διονυσίου τοῦ Ἀλεξανδρείας περί τινος Σεραπίωνος πιστοῦ γέροντος· ὅτι ἤδη καὶ φυλάττεσθαι τὰς ἀπαλλαττομένας τοῦ βίου μερίδας τῆς Εὐχαριστίας ἐφόδιον τελευταῖον καὶ ἀναγκαιότατον, ἢ φησιν ἡ ιγ. Κανὼν τῆς ἁγίας α. συνόδου· ὅπερ καὶ νῦν ἔστιν κρατοῦμεν κατὰ τὸν πα-

πα-

παλαιὸν καὶ κανονικὸν νόμον τοῖς ἐκδιδόασι τὴν χεῖρα παρέχεται, ἐπιβρέχει μέρος ὀλιγο-ον τῆς θείας μερίδος ὕδατι ἢ οἴνῳ, ἢ καὶ ἑ-τέρῳ ἄλλῳ ζωτικῷ, καθὰ δὴ καὶ Σεραπίων ὁ πάππος βεβρεγμένην ἔλαβε τὴν δοθεῖσαν ὑπὸ τοῦ πρεσβυτέρου αὐτῷ μερίδα. Τοιγαροῦν ἀδύνατον συστέλλεσθαι ὑπὸ τοῦ Σωτῆρος τὴν κοινωνίαν πᾶσι τοῖς Χριστιανοῖς ἐν ἑκατέρῳ εἴδει. οὐ γὰρ ἂν δῆλοι ἦσαν οἱ πατέρες παραβάται γενόμενοι τῆς δεσποτικῆς διατάξεως.

Δεύτερον· Εἴθισται τοῖς Γραικοῖς μέχρι τῆς σήμερον μεταδιδόναι τῆς θειοτάτης κοινωνίας καὶ αὐτοῖς τοῖς ἀρτιτόκοις βρέφεσιν ἐπισταζομένου τοῖς ἁπαλοῖς χείλεσιν αἵματος ὀλίγου. Καὶ ταύτην αὐτὲ ἡγοῦνται κοινωνίαν διαρκεστάτην, εἰ καὶ ἄρα ποτὲ θέσπισμα καὶ δόγμα τῆς ἐκκλησίας ἔφασαν οἱ Καλβινισταὶ καὶ οἱ Κυρίλλου, νέμειν ἐξ τοῦ Χριστοῦ πᾶσι τοῖς Χριστιανοῖς, διατάττεσθαι ἐν ἑκατέροις εἴδεσι τὴν μετάληψιν.

Τρίτον· Ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς Καισαρίαν ἐπιστολῇ, Ἐν ταῖς κοινωνίαις φησί, τοῦ διωγμοῦ μὴ παρόντος ἱερέως ἢ λειτουργοῦ ἐξ ἀνάγκης λαμβάνεσθαι, τῇ ἰδίᾳ τῶν λαϊκῶν χειρὶ τὴν

τὴν Εὐχαριστίαν, ἀλλὰ καὶ τῇ ἐρημοτέρᾳ χώ-
ρᾳ τινος ἀνάγκης τοιαύτην εἶναι τὴν συνήθειαν
μὴ παρόντος ἱερέως. Καὶ ἐν Ἀλεξανδρείᾳ καὶ
ἐν Αἰγύπτῳ ἕκαστον ἔχειν ὡς ἐπὶ τὸ πλεῖστον ἐν
τῷ οἴκῳ κοινωνίαν, καὶ δι' ἑαυτοῦ μεταλαμβάνειν
ὅτε βούλεται. ἅπαξ γὰρ φησὶ τοῦ ἱερέως τὴν
θυσίαν τελειώσαντος καὶ δεδωκότος, ὁ λαβὼν
αὐτὴν, ὡς ὅλην ὁμοῦ καθ' ἑκάστην μεταλαμ-
βάνων, παρὰ τοῦ δεδωκότος μεταλαμβάνειν καὶ
ὑποδέχεσθαι πιστεύειν ὀφείλει· καὶ γὰρ ἐν τῇ
ἐκκλησίᾳ ὁ ἱερεὺς ἐπιδίδωσι τὴν μερίδα, κα-
τέχει δὲ αὐτὴν ὁ ὑποδεχόμενος μετ' ἐξουσίας
ἁπάσης, καὶ οὕτω προσάγει τῷ στόματι τῇ ἰδίᾳ
χειρί. ταυτὸν τοίνυν ἐστὶ τῇ δυνάμει, εἴτε
μίαν μερίδα δέξηταί τις παρὰ τοῦ ἱερέως, εἴτε
πολλὰς μερίδας ὁμοῦ. Εὔδηλον δὲ ἐκ τῶν λό-
γων τοῦ μεγάλου κήρυκος τῆς ἀληθείας, ὡς διά-
φορος γεγένηται πάλαι ποτὲ τὴν χρῆσιν τῆς
κοινωνίας, τὴν μὲν εἶναι ἰδίᾳ μόνῃ τῇ τοῦ θείου
σώματος μερίδι, τὴν δὲ ἐν ἐκκλησίαις δημο-
σίᾳ γίνεσθαι καθ' ἡμᾶς ἀμφοῖν τοῖς εἴδεσι. καὶ
μυθολογοῦσιν οἱ Καλβινοφρατισταὶ φάσκοντες,
ἀναγκαίαν εἶναι ξύμπασι κατὰ τὴν διατακτικὴν
νομοθεσίαν τὴν ἐν τῷ δείπνῳ ἔδει μετάληψιν.

τὴν

τὴν ἐν θατέρῳ γινομένην τῆς ἡμικοινωνίας· Καὶ ταύτην τὴν ἐκ ἐντελῆ κοινωνίας γίνεσθαι κατὰ βούλησιν ἀνθρωπίνην. ἀσεβὲς γὰρ τὸ πρῶτον, ἀσεβέστερον τὸ δεύτερον, ἀσεβέστατον τὸ τρίτον. ἐπεὶ τῆς κοινωνίας τὸ ἀδιάφορον οὐκ ἔχει νόμον τό γε ἀνθρωπίνοις δοκοῦν, ἀλλ' ἑπομένη τοῖς ἀποστολικοῖς διατάγμασιν ἡ ἐκκλησία τοῦ Θεοῦ φυλάττει, ἃ καιροῖς καὶ τόποις πρὸς ὠφέλειαν ψυχικὴν ἁρμόδια πέφυκε.

Δέκατον ἀθείας εἶδος· Ἐπειδάν, φασι, κοινωνήσωμεν ἀξίως, καὶ μετάσχωμεν τελείως τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ἐν τῷ μυστηρίῳ, τότε δὲ φαμὲν ἡμᾶς κατηλλαγμένους, συνηρμοσμένους τῇ κεφαλῇ ἡμῶν καὶ συσσώμους.

Ταῦτα τῷ ἀποστολικῷ ἐντάλματι ἀντιφέρεται ἐν τῇ πρὸς Κορινθίους α. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω· τουτέστι, μετὰ καθαροῦ προσίτω συνειδότος, φησὶν ὁ Χρυσόστομος. Οὐκ ἂν λαβὼν τὴν κοινωνίαν καταλλάττεται ἄνθρωπος, ἀλλὰ πρότερον καταλλαγεὶς τῷ Θεῷ λαμβάνειν ὀφείλει. καταλλάττεται δὲ καθ' ὃν τρόπον διδαχθεῖσα παρὰ τῶν Ἀποστόλων ἡ ἀνατολι-

ἀεὶ καὶ ἡ καθόλου ἐκκλησία τὴν δοκιμασίαν προσκαταβάλλεται. περὶ τοῦ μυστηρίου τῆς μετανοίας φημί, ὡς μαρτυρεῖ καὶ τῶν ἱερῶν συνόδων τὰ θεσπίσματα, καὶ τῶν μεγάλων διδασκάλων τὰ κηρύγματα, καὶ τὸ Εὐχολογίου τὰ διατάγματα, καὶ τὸ κρατοῦν παρὰ Γραικοῖς τῆς μυστικῆς ἐξαγορεύσεως ἔθος. ὅπερ ἀπορρίψαντες οἱ Καλβινισταὶ ἀπέρριψαν καὶ τὴν σύντακτον τῶν ἱερῶν μυστηρίων, καὶ τῶν ἰδίων αὐτῶν ἀποτελεσμάτων ὑπαλληλίαν, μαχόμενοι μὲν τοῖς νομοθετήσασι τὰ μυστήρια, σφᾶς δὲ αὐτοὺς ἐπιδεικνύμενοι μὴ μόνον ἀντιχριστιανούς, ἀλλὰ καὶ Ἀντιχρίστους.

ΑΡΘΡΟΝ ιη.

Πιστεύομεν τὰς ψυχὰς τῶν ἐνθένδε ἀπαλλαγέντων ἔχειν ἢ τὴν μακαρίαν λῆξιν, ἢ τὴν αἰώνιον κόλασιν, ὡς ἔπραξεν ἕκαστος. καὶ γὰρ τοῦ σώματος ἀπερχόμεναι, παραυτίκα ἢ πρὸς Χριστὸν ἐκδημοῦσιν, ἢ τῇ κολάσει παραδίδονται. οἷος γὰρ ἂν ἕκαστος ἀποθνήσκων εὑρεθῇ, τοιοῦτος καὶ κρίνεται. μετὰ τὸν ἐνθάδε βίον οὐκ ἔστιν ἀνανῆψαι. παρὰ τὸν νῦν βίον καιρὸς τῆς χάριτος. οἱ τοίνυν ἐνθάδε δικαιωθέντες, οὐδεμίαν ἔπειτα τιμωρίαν ὑφέξουσιν. οἱ δὲ τελευτῶντες ἀδικαίωτοι παραπέμπονται εἰς τὴν ἀτελεύτητον κόλασιν. κἀντεῦθεν δῆλοι, τὸ παράπλασμα τοῦ καθαρτηρίου δεῖν ἀποβάλλεσθαι, καὶ ἐν ἀληθείᾳ τοῦτο θέσθαι· ὅτι μετανοητέον ἑκάστῳ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐπιμελητέον ἐστὶ τυχεῖν ἀφέσεως ἁμαρτιῶν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰ βουλητὸν αὐτῷ σωθῆναι.

ΚΑΤΑΚΡΙΣΙΣ.

Ξ Τραπλίως ἄδουσι κἀκτούτοις οἱ Καλβινισταὶ καὶ ὁ Κύριλλος, ὡς ἐκ τῶν ἀναθηματισμῶν αὐτοῦ δῆλον. ὅτι μὴ καὶ ἀλλογενεῖς ἄνθρωποι, δ' ἀπέστησαν τῆς πίστεως λήρους λαλοῦσιν, οὐδὲν θαυμαστόν. τὸ δ' ἄνδρα Γραικὸν, καὶ Γραικῶν πατριάρχην, σπουδαίαν ἐπαγγελλόμενον, σκαιῶς οὕτωσι καὶ χαμαιπετῶς νοσεῖν τὴν τῶν πολλῶν ἀβελτηρίαν, καὶ συμφέρεσθαι ταῖς σχισματικαῖς κακοδοξίαις, καὶ μάλα κατὰ τὴν ἀσέβειαν τῶν Καλβινιστῶν, δυσσεβείας οὔσῃ πασῶν βαρυτάτης, καὶ κολοφὼν τῶν δυστυχημάτων.

Ἔστι μὲν καὶ ἕτερον τὸ ἄθεσμον ταύτης αἱρέσεως, ὅτι τοῦ Σωτῆρος αὐτοῦ καὶ Ἰωάννου κηρύττοντος καὶ βοῶντος ἐν τῷ κατὰ Ματθαῖον· Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· οἱ Καλβινισταὶ τὸ μετανοεῖτε μετέβαλον εἰς τὸ ἀνανήψατε, ὡς ἂν οἱ ταῦτα ἐκεῖ τὸ μεῖζον οὐκ ἀνανήψειν, ὅπου τοῖς ἀνανήψασιν ἱκανὸν τὸ ἀποστρέψασθαι τὰ φαῦλα, καὶ λαβέσθαι τῆς ἀρετῆς, μὴ ἀπαιτουμένοις τὴν διὰ λόγων ἐξαγόρευσιν

ρῶσιν, καὶ τὴν διὰ κανόνων ἐπιτετήκασιν. οὐχ οὕτω δὲ τοῖς μετανοοῦσιν, ἀλλ' ἀνάγκη κατὰ τοῦ μυστηρίου τὴν δύναμιν ἀλγεῖν μὲν ἐπὶ τοῖς κακῶς πραχθεῖσιν μετ' ἐπιτάξεως προσθέσεως τοῦ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, προσαιτεῖν δὲ τοὺς παρὰ τοῦ πνευματικοῦ πατρὸς ἅτε δικαστοῦ καὶ κριτοῦ πρὸς τελείαν ἐξομολόγησιν τῶν ἀτόπων πράξεων, καὶ ὑποδέξασθαι παρ' αὐτοῦ τῶν ἐπιτιμίων τὸ προσῆκον βάρος. ἃ δὴ πάντα ἐκ διαταγῆς νομοθετούσης διὰ τῶν Ἀποστόλων παραλαβοῦσα ἐκ ἴσιν ὅτι νεανιχῶς δ διετήρησεν ἡ ἀποστολικὴ ἐκκλησία.

Οὕτω Βασίλειος ὁ μέγας ἐν τῇ ἀρχῇ τῶν Ἠθικῶν τὰ ἴδια τῆς μετανοίας ἐκδιδάσκει. οὕτω Γρηγόριος ὁ Θεολόγος ἐν τῷ εἰς τὸ ἅγιον βάπτισμα. καὶ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τοῦ ϛ. τῆς πρὸς Ἑβραίους, καὶ τοῖς η. περὶ μετανοίας λόγοις τὰ μέρη, τὰ ἴδια, τοὺς τρόπους αὐτῆς τῇ σειρῆνι πάθων τῆς μελισταγοῦς εὐφραδίας. ὃς δὴ παρὰ τοῦτο καὶ Γερμανοῖς μετανοίας κήρυξ ἐπεφημίσθη, ἅτε δὴ τῆς τότε ἀκμαζούσης ἐν Κωνσταντινουπόλει αἱρέσεως τῶν Ναυατιανῶν περιεργομένης ἀσεβῶς τὴν ἀνάκλησιν τῶν μετανοούντων ἐξοστρακίζειν, ὃς τὴν χρῆσιν ἡ

κα-

καθολικὴ ἐκκλησία μετὰ τοῦ γάλακτος ἐκτρο-
φάνει τῆς πίστεως, θερμοτάτῳ ζήλῳ καὶ πραό-
τητι πυρωτάτῳ κατὰ δ' ἑρμηνείαν τε βαθεῖ τοῖς λαοῖς
Χιλιάκις μετανοήσας ἀπώλετο. πρὸς τούτοις
οἶδε τοῖς μεγάλοις φωστῆρσι τῆς ἐκκλησίας ἐν
ταῖς Γραφαῖς καὶ τῶν ἐπιτιμίων οἱ Κανόνες τῶν
διαφόρων ἁγίων συγγραφέντες πατέρων, ὡ-
ς καὶ τῆς συντρίψεως ἡ δύναμις, καὶ τῆς ἐξο-
μολογήσεως ἡ ἰσχύς, καὶ τὰ διάφορα τῶν ἐπιτι-
μίων διατυποῦνται κολάσματα, ὅπως διὰ του-
των ἔχωσιν οἱ πνευματικοὶ πατέρες θεραπεύ-
ειν τοὺς προσερχομένους τῷ μυστηρίῳ τῆς με-
τανοίας. οἱ τοῦ Καλβίνου δὲ μεταβάλλοντες τὸ
μετανοεῖν εἰς τὸ ἀνακύψαι παρὰ τὸ διαστρέψαι καὶ
κατεστρέψαι, καὶ τὴν ἀληθείαν τῆς προφητείας
αὐτοὶ βούλονται, τὸ ἀνακύψαι παρέχειν τὸ
ἐπιτιμήσαιμεν. ἐπειδὴ τὴν παρασκευασμένην αὐ-
τοῖς προσευτομίαν σώζεται μὴ μετανοήσας ὁ ἄν-
θρωπος, ἀπόλλυται δὲ μὴ ἀνακύψας. ἀλλὰ
πόθεν λαβόντες ἔχουσι τὴν κατ' αὐτοὺς ἀνα-
κύψιν δύναμιν ἔχειν ἐν ἅπασιν, μετ' οὐ μὴ
φρονήσει, μηδὲ νοηθῇ, καὶ εἰ πάντες ἀνακύ-
ψουσιν ἀρετῆς μείζω, εἰ δὲ πάντες, πῶς λέ-
γει ὁ Ἀπόστολος, ἀστὴρ ἀστέρος διαφέρει ἐν δό-

ξῃ,

ξη, τουτέστιν, ὡς ἐξηγεῖται ὁ Χρυσόστομος, εἰ πταίστης δίκαιος. εἰ μὴ πταίστης ἦν, ἐξ ἀνάγκης τὸ εἶναι ἐξ ἀνανήψεως. Καὶ ὁ μὴ τελειωθεὶς ἀνανήψας, ὑστερεῖται τῆς βασιλείας τῶν οὐρανῶν ἄξιος· ἔτι μηδὲ ἄξιος τῆς γεέννης, διὰ δήποτε ἀνανήψας. ὅπως κἂν βούλωνται οἱ Καλβινισταί, κἄν τε μή, ἐκ τῶν οἰκείων αὐτοῖς ὑποθέσεων, καὶ πορρωτάτω τῆς ἀληθείας μενόντες, συνθέσθαι ἀναγκάζονται, ἐκ τοῦ μὴ πάντας ἀναλήψειν εἰς τὸ ἀκριβέστερον, ὁμολογητέον εἶναι τινὰ μέσον τῆς καθάρσεως χώρον. πλὴν ἐμβριθέστερον ἀναφαίνεται ἡ ἀλήθεια ἐν αὐτῷ τῆς ἀληθείας τῷ δόγματι. Εἰ γὰρ τὸ ἁμάρτημα ἐπί τινι θεοῦ νόμοι παραβαίνειν, καὶ παροργίζειν τὸ θεῖον, ἀνάγκη τινὶ μεταμεληθέντα μὴ μόνον ἐκκλῖναι ἀπὸ τοῦ κακοῦ καὶ ποιῆσαι τἀγαθόν, ἀλλὰ καὶ λυπηθῆναι καὶ μισῆσαι ὃ κακῶς εἰργάσατο, καὶ τοῦτον εἰς τοὐπιὸν ἀπέχεσθαι βεβαίᾳ γνώμῃ προθέσθαι. τοῦτο γὰρ ἐς τὰ πρῶτα τῆς μετανοίας ἴδιον, ὥστε τούτου ἄνευ ἄφεσιν ἁμαρτιῶν μηδενί ποτε ἐλθεῖν. Μετὰ τὸ συνελθεῖν τοῦτο τῆς μετανοίας τὸ σχῆμα ἐκ θείας τοῦ Χριστοῦ διαμαρτυρίας ἕπεται τῷ ἱερατικῷ δικαστηρίῳ ἡ κρίσις, ἐν τῷ δογματικῷ

πα-

παρόντι ἀδιαλείπτως μετανοοῦν, μὴ πρότερον ἐπιγνῶσι δι' εἰλικρινοῦς τῆς μετανοούντων ἀπαγγελίας ὅσα πρὸς Θεὸν αὐτοῖς ἁμαρτήματα πέπρακται, πρὸς τὸ λύειν ἢ δεσμεῖν, καὶ ἐπιδοῦναι τῶν ἐπιτιμίων τὰ ἐπιβάλλοντα. Οὕτω γὰρ ἐξιλεοῦται ὁ Θεός, καὶ διὰ τὸ ἱκανοποιητικὸν δικαίως ἰσάζεται τῇ μετανοίᾳ ἡ γενομένη εἰς Θεὸν ὕβρις. Ἃ δὴ πάντα μετὰ πολλῆς ἀκριβείας διετέλεσεν ἀεὶ φρονοῦσα καὶ πρεσβεύουσα ἡ ἀποστολικὴ ἐκκλησία· καὶ τούτοις ἀντιλέγειν, ἀναισχύντως ἐστὶ κατὰ τῆς ἀληθείας τῆς ὁμοφώνου τῶν ἀνατολικῶν ἁγίων διδασκαλίας, καὶ ἀθετεῖν τὰ νόμιμα τῆς ἐκκλησίας, καὶ ὅλως ἀνατρέπειν. Τί γὰρ δὴ ἄλλο βούλεται τοῖς Γραικοῖς τὰ χειρίδια ἐκεῖνα, συγγεγραμμένα μὲν παρὰ τοῦ Νηστευτοῦ Ἰωάννου, ἢ καὶ ἑτέρων, διαφόρους δὲ περιέχοντα ἐρωτήσεις καθ' ἕκαστον εἶδος παραπτωμάτων, οἷς χρώμενοι ὡς τύπῳ ἐρωτηματικῷ τοὺς λογισμοὺς τῶν προσιόντων δέχονται οἱ πνευματικοὶ πατέρες, καὶ προσάγουσι τὰ κατάλληλα τῶν ἐπιτιμίων;

Ἐπεὶ τοίνυν οἱ μετανοοῦντες οὐχὶ πάντες ἔχουσιν ἱκανὴν ἐπὶ τοῖς ἡμαρτημένοις λύπην, οὐχὶ πάντες ἅπαντα ἐκφέρουσιν καὶ τὰ συγ-

γνω-

γνωστὰ τῶν πταισμάτων ἐν τῇ ἐξομολογήσει, οὐχὶ πάντας ἐπιδεικνυμένους καρποὺς ἀξίους τῆς μετανοίας· διὸ καὶ ἀδύνατον τοὺς μετανοοῦντας ἅπαντας εἶναι τῆς αὐτῆς ἰσομοιρίας, καὶ πάντας ὁμοιοτρόπως τὸν βαθμὸν σωτηρίας ἐπέχειν, καὶ διὰ τῆς ἀκριβοῦς μετανοίας ὦσιν ἅπαντες τῆς μοίρας τῶν σωζομένων· ἀλλ' ὁμολογητέον τοὺς μὲν μηδενὶ ἐνόχους κωλύματι εὐθὺς ἀναβαίνειν εἰς τὸν οὐρανόν. Τοὺς δὲ καθάρσεως χρῄζοντας, καὶ χρέους καταβολῆς ὑπερκατεχομένους ἀποδοτέαν εἶναι πρότερον Θεῷ τὴν ἔκτισιν τοῦ ὀφλήματος. Καὶ δῆλον, ὅτι τῶν Καλβινιστῶν ἡ θέσις περὶ τῆς ἀναιρέσεως ἐστὶ τῷ ὄντι καὶ ἐσχάτης ἀγνοίας καὶ ἐσχάτης βλασφημίας· ἀντιλέγει γὰρ τῷ Εὐαγγελίῳ, μάχεται ταῖς συνόδοις καὶ τοῖς ὁσίοις πατράσι, καὶ ἁπαξαπλῶς ὑπεναντία ἐστὶ τοῖς ἔθεσι καὶ νομίμοις τῆς καθολικῆς ἐκκλησίας. ἵνα πολλοὺς ἀντιθέσωμεν μαρτυρήσοντας τῇ ἀληθείᾳ, παράγομεν τὸν μέγαν Ἀρεοπαγίτην ἐκ τοῦ Κεφαλαίου ἐπὶ τῶν ἱερῶς κεκοιμημένων τῆς ἐκκλησιαστικῆς ἱεραρχίας.

Εἰ θεοειδής τις, φησὶν, ἔχει ἐνθάδε καὶ ἐν-
άρετον ζωὴν, ὡς ἀνδρὶ τῷ θεομιμήτῳ ἐφι-
κτὸν, ἐν θείαις ἔσται εἰς τὸν αἰῶνα τὸν μέλ-
λοντα καὶ μακαρίαις λήξεσιν. εἰ δὲ τῆς κατ᾽ ἄ-
κρον θεοειδοῦς ὑστεροῦσαν ζωὴν, ἱερὰν δὲ ὅμως, ὁ-
μοειδῶς ἂν ἑαυτῷ λήψεται τὰς ἱερὰς ἀμοιβάς.
Καὶ κατωτέρω· Ἡ μὲν οὖν ἀρχὴ, φησὶ, τῆς
θεαρχικῆς ἀγαθότητος δεῖται πάντα μὲν ἀ-
φεῖναι τὰ δι᾽ ἀνθρωπίνην ἀσθένειαν ἡμαρτημέ-
να τῷ κεκοιμημένῳ, κατατάξαι δὲ αὐτὸν ἐν
φωτὶ καὶ χώρᾳ ζώντων, εἰς κόλπους Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ἐν τόπῳ, οὗ ἀπέδρα ὀ-
δύνη καὶ λύπη καὶ στεναγμός.

Εἶτα κατ᾽ ἀνθυποφορὰν ὁ ἅγιος· ὅτι ἕνε-
κα, φησὶν, τῆς θεαρχικῆς ἀγαθότητος ὁ ἱε-
ράρχης δεῖται τῶν ἡμαρτημένων αὐτῷ τῷ κεκοι-
μημένῳ τὴν ἄφεσιν, οὐ γὰρ ἀμοιβὰς ἀπολήψε-
ται τὰς ὑπὸ τῆς θείας δικαιοσύνης ὧν ἐν τῇ
παρούσῃ ζωῇ χρηστῶν ἢ ἑτέρων ἔδρασεν,

Καὶ ἀποκρινόμενος λέγει· Ἐγὼ δὲ ὅτι μὲν
ἀμοιβὰς ἕξει τὰς ἀπολήψεσιν ἕκαστος, οὐκ
οἶδα. ἀλλὰ δὲ τῆς εἰρημένης ἀρχῆς, ἣν ὁ ἱε-
ράρχης ἐπεύχεται τῷ κεκοιμημένῳ, τὴν εἰς ἡ-
μᾶς

μᾶς ἐλθοῦσαν ἐκ τῶν ἐν Θέῳ ἡμῶν καθηγημέ-
νων παράδοσιν αὐτὴν ἀρχαϊκήν· ὅτι τοῖς ὁ-
σίως βιοῦσασιν τὸ κατ' ἀξίαν ὑπὸ τῶν δικαιο-
τάτων ζυγῶν ἀντιδίδοται, παρεσομένης ἀγα-
θότητι τῆς θεαρχικῆς φιλανθρωπίας τὰς ἐγγ-
γινομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας κη-
λῖδας· ἐπείπερ οὐδεὶς, ὡς τὰ λόγια φησὶ, κα-
θαρὸς ἀπὸ ῥύπου.

Ἰδοὺ πρόδηλον, μὴ μόνον τῆς συνηθείας τά-
ξιν. ἰδοὺ ἐν τῷ μετ' αὐτὰ βίῳ τῶν χρηστῶν ἡ ἀπό-
τισις. ἐν ταύταις δὲ, ὡς εἰπόντες ἐφθημεν,
τῆς λειτουργίας ἐκβαπτίζεται τοῖς Καλβινισταῖς,
ἀλλὰ θαυμαστόν. Κύριλλον δὲ τῶν ἀποστολι-
κῶν διδαγμάτων ἀποσκιρτᾶν, καὶ παρ' οὐδὲν
τίθεσθαι τὰ θεσπίσματα ἐν ταῖς ἀκολουθίαις
τυπωθέντα τῆς μακαρίας παραδόσεως, ὁ πρὸς
Γραικοῦ ἀνδρὸς, οὐ πρὸς ἱερέως, ἀλλὰ μισό-
φρονος καὶ ἀλάστορος τῆς ψυχῆς τοῦ φονέως.

Ἡνίκα γοῦν Κύριλλος τῇ θείᾳ τραπέζῃ πα-
ρέστηκεν, ἄρα ὑποκρίνεται ὡς ἐπὶ σκηνῆς, ἢ
συνδοξάζων ἱερατεύει; εἰ μὲν γὰρ ὑποκρίνεται,
Χριστιανὸς οὐκ ἔστι πιάζων τὰ θεῖα· καὶ ἰσοπα-
λὴς ἔστι τοῦ Ἰούδα, μᾶλλον δὲ κρείττων κακο-
δαιμονέστερος. ὁ μὲν γὰρ ἅπαξ ἑαυτὸν ἀπημ-

πο-

πολλαχοῦ, ὅπερ πλειστάκις καθιστατοῦ, καὶ ἑαυτὸν καὶ ξύμπαν τὸ φῦλον τῶν Γραικῶν ἔστιν ἐφ' ἑαυτῷ ποιῆσαι μόνον τοῖς Καλβινισταῖς. εἰ δὲ σπουδάζουν τὰ ἱερὰ σκεῦη, λυγίζειν, ὑπὲρ τίνων ἐν ταῖς ἀναιμάκτοις θυσίαις ψυχῶν, ἐν ταῖς καθ' ἑκάστην ἱερολογίαις καὶ ἐνδελεχέσι μνημοσύνοις, λιταῖς καὶ δεήσεσι προσφέρειν Θεῷ τὰς δεήσεις, ἃ δὴ πάντα παραδέδωκε τῶν ἀποστολικῶν ὁ Ἀρεοπαγίτης βοῶν, καὶ ὁ Χρυσόστομος πολλαχοῦ τῶν αὐτοῦ λόγων, καὶ ἐν τοῖς ἱεροῖς ὕμνοις ὁ Δαμασκηνός.

Ἐκ τούτων δὴ ἔχομεν πρὸς ὕβριν τῆς Εὐαγγελικῆς ἀληθείας λαμβάνεσθαι τοῖς Καλβινισταῖς τὴν ἀνάληψιν ἀντὶ μετανοίας.

Ἔχομεν, τὴν τῶν σωζομένων μοῖραν μὴ μιᾶς εἶναι τάξεως, ἀλλὰ πολυσχιδοῦς, καὶ ποικίλης.

Ἔχομεν, πολλῆς ψευδηγορίας γέμειν ὅ φασιν οἱ Καλβινισταὶ, τοὺς ἀποβιοῦντας ἢ πρὸς Χριστὸν αὐτίκα χωρεῖν, ἢ καταβυθίζεσθαι εἰς ᾅδην.

Δευτέρα αἱρετικὴ ἀπόφασις· ὅτι οἱ ἐν τῷ νῦν βίῳ δικαιωθέντες οὐδεμίαν ἐν τῷ μέλλοντι δίκην ὑφέξουσιν. Ἀλλὰ πῶς κακίστην ἐφευρῶ-

ται

καὶ Θεολόγος Γρηγόριος ἐν τῷ περὶ τοῦ ἁγίου
βαπτίσματος. παραβάλλει γὰρ καὶ τὴν διὰ
βαπτίσματος πρὸς τὴν διὰ μετανοίας κάθαρ-
σιν· δακρύων φησὶ, ἀντὶ ἰατρείας ἐπιπονωτέρας
τὴν ἐπιπονωτέραν ἐργάσασθαι. πόσον γὰρ ἀ-
ναλωσάμενοι δάκρυον, ἵν' ἀντισωθῇ τῇ πηγῇ τοῦ
βαπτίσματος, τίς δὲ ὁ ἐγγυητὴς, ὅτι μὴ φθάσῃ
τὴν θεραπείαν τὸ τέλος, ἀλλ' ἐκ ὀφείλοντας
ἡμᾶς ἔτι τὸ κριτήριον ἀποδέξεται, καὶ τῆς
ἐκεῖσε δεομένους πυρώσεως. Αὕτη τῆς ὀρθο-
δοξίας ἡ τρίβος, καὶ τῆς ἀληθοῦς διδασκαλίας
τὸ κήρυγμα. τοὺς γὰρ μετανοίᾳ διακαθαρθέντας φη-
σίν, ἄρα τυγχάνειν ὀφείλοντας, τῆς ἐκεῖσε δεῖ-
σθαι πυρώσεως. Ἐκ ποίου ἄρα διδασκάλου
οἱ Καλβινισταὶ τἀναντία παραδέχονται; τίς,
φησὶν, ὁ ἐγγυητὴς, ὅτι οὐκ ὀφείλοντας ἡμᾶς ἔ-
τι, τὸ κριτήριον ἀποδέξεται τῆς ἐκεῖσε δεο-
μένους πυρώσεως, μὴ πράξαντας καρποὺς δα-
κρύων, στεναγμῶν, γονυκλισιῶν, χαμευνιῶν,
ἀγρυπνιῶν, τήξεως ψυχῆς καὶ σώματος, καὶ
ἐπανορθώσεως διὰ ἐξαγορεύσεως καὶ ἀτιμο-
τέρας ἀγωγῆς; ὁ γὰρ καὶ τοιαύτας κρίνεται ἔ-
καστος, εἰς τὸ ἀπαρτισθῆναι τελειοῦν· ἀλλ' ἡ διὰ
τοῦτο καὶ ἀφεθεὶς τῆς τῶν διακαθαρθέντων μοίρας.

ἀπαλλαγεὶς ἔσται καὶ ἧς τύχοι ὀφείλων τιμωρίας. οὐδὲ γὰρ ὁ Θεολόγος τὴν διὰ μετανοίας δικαιωθεῖσαν, καὶ μὴ τὸν βίον ὅμως διαμείναντα παρεχόντως, εἰ μὴ ἦν τοῦτο ἀληθές, ὁμολογεῖν ἤδη ἅπασι, ὡς ἡ ἀποστολικὴ κέχρηται ἐκκλησία ἐξ αὐτοῦ τοῦ Χριστιανισμοῦ τῇ προειρημένῃ, ἔθιμα καὶ νόμιμα τῇ ἐπὶ σκιᾶς μὴ διαφέρειν, ἀλλὰ καὶ αὐτοῦ τῶν ἀρχαιοτέρων τῶν Ἰουδαϊκῶν παρατηρημάτων.

Τρίτη αἵρεσις· Οὐ δεῖ, φασίν, παραδέχεσθαι τὸ παραπεπλασμένον Καθαρτήριον. Οὕτω γοῦν ἤδη συμπεραίνεσθαι τὸν λόγον τῆς Καλβινιστῆς. δεῖ γὰρ πάντως ἀληθεύειν τὸ τῆς παροιμίας· ὅταν ὁ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ. Παραπλάσματα τοίνυν μυθολογεῖ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰς Καισάριον τὸν ἀδελφὸν ἐπιταφίῳ γράφων, Καὶ τὰ μὲν ἀποδεδώκαμεν, τὰ δὲ δώσομεν, τὰς δι' ἔτους προσφέροντες τιμάς τε καὶ μνήμας οἵ γε τῷ βίῳ περιλειπόμενοι, ἃς δὴ μνήμας οἱ Γραικοὶ τῶν μεταλλαχόντων κατ' ἔθος οὐδέποτε διαλείπουν εἰσέτι καὶ νῦν ἐπιτελοῦσιν, ἐπικουρίαν καὶ ἄνεσιν αἰτούμενοι ταῖς ψυχαῖς, καθ' ἂν τὰ νομιζόμενα γίνεται.

εἶται. μῦθοι γοῦν ταῦτα καὶ ὕθλοι, καὶ οἱ
Καλβινισταὶ τὸ ψεῦδος ἐλέγχουσιν, καὶ τίς οὕ-
τω φρενῶν ἄμοιρος καὶ ἠλίθιος, ὥστε συγκατα-
νεῦσαι ταῖς δυσφήμοις τερατολογίαις, ἀλ-
λὰ τὰ χείλη τῶν ἀθλίως χλευαζόντων τὰ πα-
ρὰ Γραφαῖς σωτηριωδέστατα. Τί γὰρ δὴ παρ'
αὐτοῖς συνηθέστερον, τί δὲ συνεχέστερον σπου-
δάζεται, ἢ θερμότερον τῇ πίστει κρατυνᾷ καὶ
ἀδιστάκτῳ πεποιθήσει ζητοῦσιν παρὰ Θεοῦ ταῖς
ψυχαῖς τῶν ἐκ τῶν κατοιχομένων αὐτὰς δεινῶν
ἀπολύτρωσιν, τί δὲ αὐτοῖς ἄλλο βούλονται αἱ
λειτουργίαι καὶ προσφοραὶ καὶ τὰ καθ' ἡμέραν τοῖς
θεραπευταῖς ἱκετεύματα; οὕτω γὰρ φρονεῖν,
καὶ τοιαῦτα δρᾶν, λαμπρῶς ἀνακηρύττουσι τὸ
τοῦ Καθαρτηρίου τὸ δόγμα. Καὶ οἱ Καλβινι-
σταὶ τοῦτο καλοῦντες ἀνθρώπων πλάσμα, τῆς ἀπο-
στολικῆς ἐκκλησίας τὸ σέβας ἐκ βάθρων ἀν-
αιρεῖν ἀπαξιοῦσιν.

Οὕτω τῆς ἀναγκαίας ταύτης ὁμολογίας τῶν κε-
φαλαίων τοῖς ὀρθοῖς ἐγκαταμίξας πέντε
καὶ τριάκοντα αἱρετικὰς κακολο-
γίας, ἐν ἐπιλόγου τάξει
ἐπιφέρει ὁ συγγρα-
φεύς.

Ταύτην τὴν ἡμετέραν σύντομον ὁμολογίαν παρέχομεν τοῖς συκοφάνταις καὶ ἀδίκως διώκουσιν ἡμᾶς φιλοῦσιν ἐσομένην ἐπιστοπάζομεν ὡς σημεῖον ἀντιλεγόμενον. Ἀλλ' ἡμεῖς πεποίθαμεν ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ ἐλπίζομεν, ὅτι τὴν δίκην τῶν πιστῶν αὐτοῦ οὐκ ἐγκαταλείψει, οὔτε ἀφήσει τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.

Ἐδόθη ἐν Κωνσταντινουπόλει, ἐν τῷ Πατριαρχείῳ, μηνὶ Μαρτίῳ, ͵αχκθ΄.

Κύριλλος Πατριάρχης Κωνσταντινουπόλεως.

Εἴγε Κύριλλος ὁ τῷ θρόνῳ Κωνσταντινουπόλεως ποτὲ ἐφεδρεύων, αὐτὸς τῷ ὄντι ἐστὶν ὁ ὑπογράψας ἐν συνεπτυγμένῃ ὁμολογίᾳ, ἀλλ' ἀσυμφώνῳ παρεμολογίᾳ, κατέστησεν ὁ τάλας ἑαυτὸν τῶν παλαμναιοτάτων δαιμόνων κακοδαιμονέστερον. ὁ μὲν γὰρ ἐν τῷ ἀγρῷ τῷ δεσποτικῷ ζιζάνια ἐπέσπειρεν, αὐτὸς δὲ τοῖς πάλαι τῶν σχισμάτων ζιζανίοις νέα προσεπισπείρας ζιζάνια τοῦ Καλβινισμοῦ, δίς ἐστιν τῇ κακουργίᾳ διάβολος. ἔκαιεν ὑποτοπάσαι ἀλλ' οὐδ' ἀδύναται ὀχλεῖν, ὡς καὶ τῇ δυτικῇ καὶ τῇ ἀνατολικῇ ἐκκλησίᾳ ἐπιγνωσθῆναι ἔμελλεν ὁ μισθεργάτης τῆς ἀνομίας. ἀλλ' οὐδ' ὡς συκοφαντούμενος ὤφειλεν ἐδυνήθη, ἤγε τὸ διαβάλλειν ἢ τὸ διαβάλλεσθαι ἴδιον τοῦ διαβόλου. ἀδίκως δὲ οὐκ ἂν πάσχοι δικαιουμένου ὁ τοῦ ταλαιπώρου γένους ἀλάστωρ πικρότατος. πῶς δὲ τὸ λοιπὸν καὶ ἐπὶ τὸν κύριον πεποιθέναι, ὁ δυνάστης τῇ πλάνῃ ἐπικουρεῖν ἡ ὁδὸς ἄτε τοῦ ψεύδους ἡ ἀλήθεια, ὅτε θανάτῳ ἡ ζωή. οὐκ ἔστω συλλήπτωρ τῇ ἀπιστίᾳ ὁ ἀρχηγὸς καὶ τελειωτὴς τῆς ὀρθοδοξίας. ὅτι ῥάβδος καὶ παιδευτικὴ βακτηρία, κολάσεως δὲ ἀτελευτήτου τιμωρίαν ἀπειλοῦσι τοὺς ἀσεβοῦντας.

Εἰ Κύριλλος ἐστὶν ὁ συγγραφεύς, φανερωσάτω ἑαυτὸν τῷ κόσμῳ. φανερώσει δὲ εὖ ποιῶν ἢ τῇ αἱρετικῇ ἀντιλέγων ὁμολογίᾳ, ἢ δημοσίᾳ κηρύττων ἄδικα πεπονθέναι τῇ ψευδεπιγράφῳ συκοφαντίᾳ. σιγήσας γὰρ μᾶλλον ἔνοχος τῇ δίκῃ ἔσται, ὡς καὶ αὐτὸς γράψας, καὶ τῷ μηδὲν ἀντειπεῖν αὐτοῖς συναινέσας.

Ἵνα δὲ τοῖς ἀδήλοις καὶ ἀφανέσι προσθῶμεν καταδηλόν τι καὶ ἀναμφίλογον, μνημονευθέντων μάλιστα ἐν τοῖς κατόπιν τοῦ Κυρίλλου τῶν ἀναθεματισμῶν, αὐτοὺς δὴ ἐκείνους προσθήσομεν, ὡς παρὰ τῶν ἀποστολικῶν ἡμῖν προσηνέχθησαν.

Ετα

Ἔτει ͵αχιϛ'. ἐκκλησιάζων ἐν Τεργοβίστῳ ἐμπορίῳ τῆς κάτω Δακίας Κύριλλος τηνικαῦτα Πατριάρχης Ἀλεξανδρείας ταῦτα ἐξεφώνησεν αὐτολεξεί.

ΚΥΡΙΛΛΟΣ ΕΛΕΩ͂Ι ΘΕΟΥ ΠΑΠΑΣ Καὶ Πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ κριτὴς τῆς οἰκουμένης.

Πᾶσι τοῖς ἐν τῷ Τεργοβίστῳ ὀρθοδόξοις Χριστιανοῖς τοῦ ἱεροῦ καταλόγου καὶ τῆς κοσμικῆς τάξεως, γνησίοις τέκνοις τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀνατολικῆς, τοῖς δικαίως πᾶσαν καινὴν φωνὴν καὶ προσθήκην τῶν τε αἱρετικῶν, καὶ τῶν Λατίνων, τῶν ἀπαύστως τὴν ἡμετέραν ὀρθοδοξίαν πολεμούντων, ἀποστρεφομένοις καὶ ἀποβάλλουσι διὰ τὴν ἀλήθειαν τὴν εὐαγγελικὴν, χάρις εἴη καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν.

Google

ΟΥ μικρά τις ζάλη τὴν παλαιὰν κιβωτὸν ἐκείνην κατέλαβεν, ὅτε σφοδρῶς κλυδωνιζομένη καὶ κυμαινομένη ἐπὶ τῶν ὑδάτων ἐφέρετο, τῶν καταῤῥακτῶν δίκην ἀποῤῥαχέ-ρησιν θείαν ἐξαγγελίας οὕτως καταπιπτόντων, καὶ οἷον ἀπηλπισμένων καὶ τοῖς ἐν τῇ κιβωτῷ, καὶ ἡ ἐλπὶς ἐλαχίστη τοῖς ἐν αὐτῇ κακλεισμένοις σωθήσεσθαι ἀπηλλαγμένη, εἰ μὴ μνησθεὶς τοῦ πηδαλιουχοῦντος Νῶε ὁ Θεὸς εὐδοκήσειε κοπάσαι τὸ ὕδωρ. τύπον, ὡς οἶμαι, ταῦτα ἦσαν τῶν κατεχόντων τὸ νῦν καιροῦ τὴν νέαν κιβωτὸν, τὴν καθ' ἡμᾶς δηλαδὴ ἐκκλησίαν. ἅτινα δεινὰ ἤδη παντελῶς προσδοκῶμεν, εἰ μὴ ὁ Θεὸς τοὺς ποταμοὺς καταῤῥάκτας, τοὺς τῶν ἀκεραιοτέρων ψυχῶν λυμεῶνας κατασιγάσειε καὶ καταστρέψειεν. ἐπεὶ ἄσπονδον πόλεμον, τὴν ἐν τῇ πόλει ταύτῃ βαθεῖαν εἰρήνην τῆς ἐκκλησίας φθονήσαντες, ἤγειραν καθ' ἡμῶν, καὶ ταράξαι ἐπιχειροῦσι τὴν ἐνταῦθα γαλήνην. μετὰ τούτων οὖν σκοπὸν ἔχοντας ἐγκαταλιπεῖν, ὡς ἤδη πᾶσιν ὑμῖν παραδηλία, καὶ τοῖς ἐν τούτῳ γεγραμμένοις ἔχοντα μετὰ τῶν τοιούτων ἀσφαλιστέρως τὴν ἡμετέραν ὀρθοδοξίαν συνηγορεῖν, ᾠήθημεν, ἵνα μὴ

τοῖς

τοῖς ἁπλουστέροις φορτικὸν ἦν τὸ σύγγραμμα, ἁπλῇ διαλέκτῳ πᾶσαν ὑμῶν τὴν ὑπόθεσιν ἐγ-καθεστερῆσαι· ἥτις ἔχει οὕτως.

Ταῦτα ὁ Κύριλλος αὐταῖς λέξεσιν ἐκφωνήσας, τὰ λοιπὰ ἐξέδωκεν τῇ πατρίῳ φωνῇ χρη-σάμενος. Ἡμεῖς δὲ καὶ ταῦτα ἐξελ-ληνίσαμεν, ὅπως ξαμίνας ἔχω-σιν οἱ τὴν καθωμιλημένην τοῖς Γραικοῖς διάλε-κτον μὴ εἰδό-τες.

ΚΥΡΙΛΛΟΣ.

Ἐκ τῆς πρεσβυτέρας Ῥώμης ἀφίκοντό τι-νές, λατινοφρονεῖν ἐκεῖ μεμαθηκότες. Καὶ τό γε δεινόν, ὅτι Γραικοί, καὶ τῆς Γραικο-γενοῦς χώρας ἐκφύντες, καὶ ταύτῃ ἐντραφέν-τες· ὧν οἱ γεννήτορες, ἤκουμαι, οὐδὲ λατινι-κοῦ αἵματός τινά ποτε ἐσχήκασιν· ἀναβαίνοντες εἰς Ῥώμην οὐχ ὅπως τὴν ἑαυτῶν πίστιν ἐξωμό-σαντο, ἀλλὰ καὶ τοῖς ἀληθείας δόγμασι μά-χονται, ἅπερ ὀρθοδόξως πρεσβεύει ἡ ἀνατο-λική

ΑΠΑΝΤΗΣΙΣ.

Σκοπείτωσαν Χριστιανοὶ πάντες, οἵᾳ λύσσῃ φλεγμαίνων καθυλακτεῖ ὁ Θωμάσιος. ἀντιστρόφως ἔχειν βούλεται πρὸς ἄλληλα τὸ Γραικοῦ αἵματος εἶναι, καὶ τῆς ῥωμαϊκῆς τοῦ Πάπα ἐξουσίας ἐκφαυλιστήν· τὸ Γραικοῦ τοκέως εἶναι παῖδα, καὶ τοῦ πανωλέθρου σχίσματος ὑπερασπιστήν· τὸ Γραικῆς ὑποτετάχθαι μητρὸς, καὶ τῆς ἀρχαίας τῶν Γραικῶν ὀρθοδοξίας ἀντίπαλον. Ἀλλὰ πάλαι μὲν πολλὰς ὡμολόγει χάριτας τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐπὶ ἀρχιερέως τοῦ ἁγίου Σωτῆρος, ὡς ἱστορεῖ Εὐσέβιος ἐν τῷ δ. τῆς ἐκκλησιαστικῆς ἱστορίας, ὁ Κορίνθου ἐπίσκοπος Διονύσιος, ὅτι ποικίλως εὐεργετεῖν πάντας τοὺς ἀδελφοὺς πατροπαράδοτον ἔθος Ῥωμαίων Ῥωμαῖοι διαφυλάττοντες, ταῖς κατὰ πᾶσαν πόλιν ἐκκλησίαις ἐφόδια πέμποντες, τὴν τῶν δεομένων πενίαν ἀναψύχοντες, καὶ τοῖς ἐν μετάλλοις ὑπάρχουσιν ἀδελφοῖς ἐπιχορηγοῦντες· καὶ ὅτι Σωτὴρ ὁ Πάπας τὴν διαπεμπομένην εἰς τοὺς ἁγίους δαψίλειαν ηὔξεν, λόγοις δὲ μακαρίοις τοὺς ἀνιόντας ἀδελ-

φούς,

φησὶ, ὡς τέκνα πατὴρ φιλόστοργος παρακαλεῖ. Νῦν δὲ τίς ἄν ποτ' ἂν χαριεστάτοις λόγοις ἐξηγήσαιτο πρὸς τὴν κοινὴν εὐεργέτιν ὁ μακάριος ἐκεῖνος ἐπίσκοπος, ἡνίκα τὰ μὲν τῆς ἀποστολικῆς ἐκκλησίας ἐν ἐσχάτῃ κινδύνῳ ταλαιπωρεῖται, καὶ ἀνθρωπίνη ἐλπὶς οὐδεμία περίεστι τοῦ ἐκ τῶν κακῶν ἀναστῆναι; Συναλγήσαντα δὲ μαξίμοις σπλάγχνοις ἡ Καθέδρα τοῦ Πέτρου καὶ παιδευτήριον ἤγειρεν, πολλάκις ἐκ ζήλου καλλίστην, καὶ παντοίοις μαθήμασι κατακοσμεῖ. ἵνα μέλλοι δι' αὐτῆς ἀναζωπυρῆσαι τὴν απομαρανθεῖσαν, φεῦ, τῶν ἑλλήνων πολυμαθίαν; οὐ μὴν ἀλλὰ καὶ ναὸν περικαλλῆ ᾠκοδόμησεν, ἐν ᾧ τό τε πάτριον σέβας περὶ Θεοῦ λατρείαν οἱ Γραικοὶ προσφέρουσι, καὶ τῶν κατηγορουμένων τὸ στόμα ἐμφράττει, τὴν Ῥωμαϊκὴν ἐκκλησίαν τοῖς Γραικοῖς μηδαμῶς εἶναι φασκόντων. ἀλλ' οὐ μόνον· καὶ οὐ προσπολεμοῦσαν τῆς παλαιᾶς καὶ ἀληθοῦς τῶν Γραικῶν ὀρθοδοξίας, ἀλλ' ὡς καταπολεμοῦσαν συκοφαντουμένην. Ἤγειρεν ἐς τόδε τὸ ἱερὸν τοῦτο παιδευτήριον ἄνδρας οὐκ ὀλίγους καὶ σοφίᾳ καὶ εὐσεβείᾳ κεκοσμημένους· ὧν ὁ λάρυγξ μελετήσας ἀλήθειαν βοᾷ, καὶ λαμπρῶς ἐκλέγξει καὶ κηρύττει· Ὅτι ἡ

ἁγ

ὡς αἱ πλεῖσται τῶν Γραικῶν διαφέρονται πρὸς τὴν ῥωμαϊκὴν ἐκκλησίαν, οὐκ ἔστι τῶν συνόδων θεσπίσματα, οὐκ ἔστι τῶν τῶν ἁγίων ἀνατολικῶν πατέρων διδάγματα, ἀλλὰ Φωτίου καὶ τῶν ἀκολούθων αὐτοῦ πανουργίας γέμοντα εὑρήματα. Διὸ ἐπαινετέον ἐστὶ τὴν ἀρχαίαν, ἥ τις ἐφύλαξε πρὸ τῶν Φωτίου χρόνων, ὀρθοδοξίαν. Ἀλλὰ τούτοις ἀντιφέρονται Κύριλλος ὁ τῆς ἑαυτοῦ σωτηρίας ἀμνημονῶν ὃ τὰ τῶν πατέρων μὴ ἀναγνοὺς, ὃ μὴ πειθόμενος τοῖς τῶν πατέρων ἤθεσι, ὅπως δ' αὖ ὄχει, ἀσεβῶς αὐτοῦ ἄρχεται, τοὺς ἐν Ῥώμῃ ὄντας ζαρφίτας τὴν πίστιν ἐξεμυλίθη, ὡς οὐ αἱ τοῦ σχίσματος ἡ ἀθέτησις ὑπῆρχεν τῆς πίστεως ἀρνήσεις· Μείζονος ἀσεβείας οὐ προσέθηκεν· Τοὺς ἐν Ῥώμῃ παιδευθέντας μάχεσθαι τοῖς παραδοθεῖσιν ὑπὸ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων, καὶ τῶν συνόδων. Τὰ οἰκεῖα τοῖς ἄλλοις προσετέθεικεν ὁ Κύριλλος, ψεύσας γὰρ αὐτοῦ πάρεσις ἐγένετο· καὶ ἀποθεραπευθεὶς διαβεβαιοῦται, ὅ συνεστάναι ἡ δίαιτα. προσβάλλεται καὶ παρεγκλεῖ τοῖς σχισματικοῖς ἐμμένειν τῷ σχίσματι· καὶ οὕτω τὰς τῶν ἀκουομένων ψυχὰς ἐγκατασπείρει τὰ θεῖα λόγια ἀδικῶς καινὰ τινὰ λέ-

γει-

γεῖζε τόν τε ἀκρωμένων ἀπώλειαν τοῦ σχίσματος ἐνέσπειρε τὰ ζιζάνια. ζιζάνια γὰρ ὄντως καὶ ματαιότητος δόγματα τῶν σχισματικῶν τὰ λήρήματα, ἐπ' οὐδενὶ ἀληθείας θεμελίῳ, ἐπ' οὐδενὶ πατρικῆς διδασκαλίας ὑποστηρίγματι στηριζόμενα. ὅτι δὲ τοῦθ' οὕτως ἔχει, τῶν ἀναθεματισμῶν δηλώσει ὁ ἀθεματισμός.

ΚΥΡΙΛΛΟΥ

ΑΝΑΘΕΜΑΤΙΣΜΟΣ α.

Εἴτις οὐχ ὁμολογεῖ καρδίᾳ καὶ στόματι· πάντων δὲ μάλιστα ὁ λεγόμενος Γραικὸς τέκνον τῆς ἀποστολικῆς ἐκκλησίας, βαπτισθὲν τὸν ἀποστολικὸν τρόπον, ὡς οἱ Χριστιανοί, καθάπερ ἡμεῖς· ὅτι οὐχ ὁμολογεῖ τὸ πανάγιον Πνεῦμα ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι οὐσιωδῶς καὶ ὑποστατικῶς, χρονικῶς γε μὴν

ἐκ

ἐκ Πατρὸς καὶ Υἱοῦ. ἀλλά φησιν ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, ἔστω τῆς ἐκκλησίας ἡμῶν ἀλλότριος, καὶ ἡμῖν ἀκοινώνητος, καὶ ἔστω ἀνάθεμα.

ΑΠΑΝΤΗΣΙΣ.

Ἐνταῦθα ὁ γενναῖος ἀναθεματίζει, τουτέστι βάλλει πάνυ ἀδεῶς ἀφανεῖ καὶ αἰσχύνῃ, καὶ φαντασιωδῶς τιτρώσκειν δοκεῖ ὥσπερ τῶν ἄλλων τοὺς ἀμάχους τῆς πίστεως προβόλους, καὶ καθηγητὰς τῆς ὀρθοδοξίας, τὸν μέγαν Ἀθανάσιον, τὸν μέγαν Βασίλειον, καὶ Κύριλλον Ἀλεξανδρείας· ὃς Νεστορίῳ τῷ αἱρεσιάρχῃ τῷ ἀσεβεστάτῳ παραβάτῃ τῆς ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύσεως ἐν τοῖς ἀναθεματικοῖς τῆς τρίτης Συνόδου διακρινόμενος ὧδε τουτὶ ἔφασκεν· ὅτι ὁ Χριστὸς ἐχρῆτο τῷ ἁγίῳ Πνεύματι ὡς ἰδίᾳ δυνάμει, ὅτι τε ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπέφυκεν αὐτῷ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ προχεῖται παρ' αὐτοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. τί δ' οὖν ἂν τὸ προχεῖται, αὐτὸς ἐπεξηγεῖται ὁ Κύριλλος ἐν αὐτοῖς τοῖς

δογματικοῖς ἐν τῇ εἰς τὸ ἅγιον Σύμβολον πρὸς τοὺς μοναχοὺς ἐπιστολῇ· προχεῖται, λέγων, ἤγουν ἐκπορεύεται. ἐκέχεντο δέ φησιν, ὁ Χριστὸς τῷ ἁγίῳ Πνεύματι πρὸς μεγαλουργίαν, ὥσπερ ἂν εἴ τις λέγοι τὴν καθ᾽ ἡμᾶς περὶ τῆς ἑνώσεως αὐτοῦ ἰσχύος ἢ ἐπιστήμης, ὅτι διξάπουσί μοι. Θεωρεῖται γοῦν ὁ τοὺς ἀναθεματισμοὺς ἐκφωνήσας, ὁ δίκαιον ἐν θείῳ πρόσωπον χρῆσθαι ἑτέρῳ θείῳ προσώπῳ ὡς ἰδίῳ αὐτοῦ, καὶ υἱικῶς ὄντι, ἐξ αὐτοῦ, καὶ προχεομένῳ παρ᾽ αὐτοῦ καθάπερ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, μὴ συνεπινοουμένης τῆς ἀϊδίου ἐκπορεύσεως καὶ παρὰ τοῦ χρωμένου αὐτοῦ Υἱοῦ. Καὶ μανθανέτω Κύριλλος παρὰ τοῦ ἀοιδίμου Κυρίλλου, ὅτι ἡ χρονικὴ πέμψις προϋποτίθεται ἀναγκαίως τὴν ἐκ τοῦ Υἱοῦ ἀΐδιον τοῦ Πνεύματος ὕπαρξιν. καὶ ὁ συγχωρῶν τὴν χρονικὴν παρὰ τοῦ Υἱοῦ ἔκπεμψιν, καὶ μὴ βουλόμενος ὁμολογεῖ ὅπερ αἰτίως ἀναθεματίζει. Καὶ γὰρ μὴ ἐπὶ τοὺς καθηγητὰς τῆς ὀρθοδοξίας, ἀλλ᾽ ἐπὶ τὴν κεφαλὴν τοῦ ἀναθεματίζοντος ἀνατρέπεται τὸ ἀνάθεμα, καὶ τὰ τοῦ πεμπόμενα βέλη ἐκ χειρὸς ἐχούσης τὸ κῦρος τῆς αὐθεντίας, οὐδενὸς ἄξια.

Δε-

Δευτέρα τὸ ἀναθεματισμοῦ τούτῳ αἱρετικὴ θέσις, ἔνθα φησίν· βαπτίζειν ὡς βαπτίζοντας οἱ Γερμανοί, Χριστιανοὺς ὡς ἡμᾶς. Δοκεῖ γὰρ ὁ γεννάδας τὸ κατὰ τοὺς Γερμανοὺς μόνον ἐπιγινώσκειν βάπτισμα. Καὶ μέμνηται ὁ Κύριλλος οὐχ ἁπλῶς αἱρετικὰ φθεγγόμενος ἀλλὰ καὶ βλασφημιῶν τὰς ἀποφθέγματα ἡ ἁγία πρώτη σύνοδος, καὶ μόνην καὶ ἡ δευτέρα κατὰ τὸ τῶν αἱρετικῶν ἀποδέχεσθαι βάπτισμα, οὐ ἄρα τοὺς μυρίους ἀναθεματίζεται· πόθεν καὶ ἡ τοσαύτη ἀσέβεια, μετὰ τὸ τῆς Γερμανικῆς θρησκείας περιεσφαλμένου τὸ βάπτισμα τῶν Χριστιανῶν;

Τρίτη θέσις αἱρετική, Ὅτι χρονικῶς φησι τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ. Τοῦτ' ἄρα καὶ τὸ μάταιον καὶ ἀσυμφανὲς καταφύγιον τοῖς τῷ σχίσματι προστετηκόσι. Καὶ γὰρ ὡς παραδεδήλωται, τὴν καινὴν καὶ ἀμφίλογον διδασκαλίαν τῶν θείων πατέρων ἀληθῶς, ὅ φησιν ὁ ἀοίδιμος Κύριλλος ἐν τοῖς παραλειπομένοις τῆς Συνόδου ἐν τῇ πρὸς Νεστόριον ἐπιστολῇ· ὅτι τὸ χρονικῶς ἐνεργούμενον καὶ χορηγούμενον ὑπὸ τοῦ ἁγίου Πνεύματος αἰτίαν ἔχει τὸν Υἱὸν τὸν ἐνεργοῦντα διὰ τοῦ ἰδίου Πνεύματος. διὸ τοῦτο γάρ φησιν, ἔφασκεν ὁ Χριστός· ἐκ τοῦ ἐ-

μοῦ

μοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν· ὅτι τὸ Πνεῦμα ἐστὶ σοφία καὶ δύναμις· διὰ τὸ εἶναι Πνεῦμα τῆς τοῦ Πατρὸς δυνάμεως καὶ Σοφίας, τουτέστι τοῦ Υἱοῦ. Ἐπειδὴ οὖν τὸ Πνεῦμα Σοφία ἐστὶν, ὅτι Σοφία ὁ Υἱός, ἀναγγέλλει τοῖς μαθηταῖς· καὶ ὁ Χριστὸς ἐπεὶ καὶ πέμπει τὸ Πνεῦμα ὡς ἰδίαν αὐτοῦ δύναμιν, ἀνάγκη τῆς χρονικῆς πέμψεως προεπινοεῖσθαι τὴν ἀΐδιον ἔκφανσιν· ὅτι τὸ εἶναι δύναμιν τοῦ Υἱοῦ ἐκ τοῦ Υἱοῦ, ἀΐδιον· καὶ τὸ χρῆσθαι τῇ δυνάμει, χρονικόν. ἐκπέμπεται ἄρα τὸ Πνεῦμα καὶ ἐκπορευόμενόν ἐστι, καὶ ἄλλο μὲν ἡ ἀΐδιος ἐκπόρευσις, ἄλλο δὲ ἡ χρονική πέμψις, ἀλλ' αὕτη ἐν τοῖς θείοις προσώποις ἤρτηται ὁμοίως, οὕτω κατὰ τὸν ἀοίδιμον Κύριλλον καὶ ὁ Χριστὸς ὡς ἄνθρωπος κατὰ τὸ προφητικὸν τοῦ Ἡσαΐου λόγιον ἐστάλη παρὰ τοῦ Πνεύματος, ἐπειδὴ ἐνεργοῦντος τοῦ Πνεύματος ἐσαρκώθη ὁ Λόγος, ὥσπερ οὖν διὰ τοῦτο ἀπεστάλη ὁ Χριστὸς ὑπὸ τοῦ Πνεύματος, ἐπειδὴ τὸ Πνεῦμα ἐνήργησε τὸ οὐσιῶδες τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως· οὕτω καὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ πέμπεσθαι, ἐπειδὴ ὁ Υἱὸς προβάλλει καὶ αὐτὸς τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ ὥσπερ ἄλλο τὸ ἐνανθρωπῆσαι, ἄλλο τὸ εὐαγγελίσασθαι

πτω-

ψυχῆς, προηγεῖται δὲ τούτου ἐκεῖνο· οὕτως ἄλλο τὸ προβάλλεσθαι, καὶ ἄλλο τὸ πέμπεσθαι, προηγεῖται δὲ τούτου ἐκεῖνο. ἐματαιώθη γοῦν Κύριλλος ὁ ἐκψαδὸς τῶν ἀναθεματισμῶν ἑπόμενος Φωτίῳ τῷ πρωτοστάτῃ τοῦ σχίσματος, τοῖς παραλογισμοῖς καὶ σοφίσμασι τοῦ Παλαμᾶ Γρηγορίου, καὶ Μάρκου τοῦ Ἐφέσου τοῖς ἀκολούθοις ἐπιχειρήμασιν.

ΑΝΑΘΕΜΑΤΙΣΜΟΣ β.

Εἴ τις οὐχ ὁμολογεῖ, ἐν τῷ μυστηρίῳ τῆς Κοινωνίας ὀφείλειν καὶ τοὺς λαϊκοὺς λαμβάνειν τὸ τίμιον καὶ ἄχραντον σῶμα καὶ αἷμα, φησὶ δὲ μόνον δεῖν τοῦ σώματος μεταλαμβάνειν, οὐχὶ δὲ καὶ τοῦ αἵματος, ἀλλότριος ἔστω τῆς ἐκκλησίας, καὶ ἀνάθεμα. πρὸς τούτοις ὁ λέγων, τοὺς λαμβάνοντας μόνον τὸ σῶμα λαμβάνειν ὡς σύνολον καὶ τὸ αἷμα, ὅπερ ὁ Χριστὸς διακεκριμένα παρέδωκεν, αὐτοὶ δὲ ταυτοῦσιν, ἔστω ἀνάθεμα.

ΑΠΑΝΤΗΣΙΣ.

ΕΝ τούτῳ τῷ ἀναθέματι καθυποβάλλει τὸν μέγαν Βασίλειον ἐν τῇ περὶ Κοινωνίας ἐπιστολῇ τοιαύτην διδάσκοντα, ὡς ἤδη σεσαφήνισται. πλὴν ἐκ τῆς αὐτῆς ἐστὶ χειρὸς ἔργον τό τε προκείμενον ἄρθρον, καὶ οἱ ἀναθεματισμοί, ἀμφοτέρων λέξεις ὄντων ὁ συγγραφεὺς καὶ τοῦ ἔτι κόθορνος. ὃ γὰρ ἀπηρνήθη μετὰ τῶν Καλβινιστῶν, ὁμολογεῖ μετὰ τῶν Γραικῶν. ἀλλ᾽ εἴτι Καλβινιστής, ὅτι τῶν τοῦ σχίσματος ἐστίν, ἀντιβαίνεται περὶ εὐαγγελίου, τῇ παρὰ Γραικοῖς ἀδιαφόρῳ συνηθείᾳ, καὶ τῇ θείᾳ τῶν προηγιασμένων λειτουργίᾳ. Ἡ γὰρ ἀληθὴς ἐκκλησία τῆς ἀνατολῆς, ἧς οὔτε νῦν ἤκμαζεν ἡ πίστις καὶ τὰ θρησκεύματα, οὐδὲ ἀπεκρατέλευσεν ἃ νῦν ὁ Κύριλλος παραφθέγγεται. Μᾶλλον τῆς ἱερᾶς μετοχῆς Κοινωνίας ὁ ἀνατολικὸς ἱερεὺς τὴν θαυμαστὴν ἐκείνην ποιεῖται ὁμολογίαν· Πιστεύω κύριε καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· πῶς οὖν ἀπερισκέπτως τολμᾷ λέγειν Κύριλλος, ἀδιαφορεῖ τὸ ὅτις τοῦ Χριστοῦ μὴ λαμβάνεσθαι αἷμα καὶ τὸ σῶμα.

καὶ

καὶ τὸ αἷμα; ἐκ ποίων δὲ διδασκάλων ἔμαθον, ἐπειδὴ ὁ Σωτὴρ ἐνομοθέτησε τὴν ἀναίμακτον θυσίαν ἐν ἀμφοτέροις εἴδεσιν, ὅτι καὶ ἐν ἀμφοτέροις εἴδεσιν ἐνομοθέτησε τὴν Κοινωνίαν πᾶσι τοῖς Χριστιανοῖς, ὥς φησι ταῦτα ὁ μέγας Βασίλειος, καὶ ἀντιλέγει τὸ ἀνέκαθεν ἀμφότερον ἔθος τῆς Κοινωνίας παρὰ τοῖς ἀνατολικοῖς.

Ἀλλὰ τῶν σχισματικῶν ἴδιον ἡ τόλμη, τὸ δὲ τόλμημα τῆς ἀμαθίας βλάστη, ὡς καὶ ἡ ἀμαθία τῆς δυσπειθείας γέννημα, δυσπειθεῖς δὲ ἐμποιεῖν εἴωθεν ἡ παρὰ φαύλοις διδασκάλοις ἀγωγή. τοιοῦτοι δ' ἂν εἶεν, ὡς μάλιστα τὸ αὐτοκεφάλως ἐπισπουδάζονται. τούτου γὰρ χάριν οὐκ ἐγκύπτουσι τοῖς προρρητικοῖς τῶν οἰκουμενικῶν Συνόδων, καὶ τῶν ἱερῶν θεοκηρύκων ἀπολιπόντες φιλοπονήματα, ἃ ἔχουσιν ἐκεῖθεν ἀγνοοῦσι τῆς ὀρθοδοξίας τὰ πέρατα. ἀλλ' ἔτι που χιλίων σχισματικῶν μεταποιητικῶν σφοδροτέροις [illegible] ἐσκοτισμένοις καὶ τυφλοῖς ἔχειν, ἐκείνων ἀπορίξ ἔχουται, ἐκείνοις προσοχθίσαντες, ἵν' ὦσι ζοφεροδιδασκάλων φωτιστικοὶ ζοφερώτεροι. [illegible] ἅπαξ δηλητηρίων ἐμπλησθέντας οὐδ' ἂν ἀπαλλάξεις, ἃ καὶ μυρία προσάγοις ἀντίδοτον ἀλεξιτήρια.

Λεγέτω Κύριλλος ἐκ ποίων συνοδικῶν συνταγμάτων, ἐκ ποίας πατρικῆς διδασκαλίας ἔχει λαβὼν, ἃ τοῖς ἀναθηματισμοῖς ἐγκατέσπειρε. ἔγραψε καὶ Κύριλλος ἀνθισταμένως τοῖς τοῦ Νεστορίου ἀναθηματισμοῖς, ὧν καὶ ἀδίκως κατηγορηθέντων οὐχ ἅπαξ ὑπεραπολογήσατο γενναιότατα. ὑπεραπολογησάσθω τῶν ἰδίων συνταγμάτων καὶ ὁ νῦν Κύριλλος, καὶ τῆς ἀλόγου κατηγορίας, καὶ δικαίας μέμψεως ἀπαλλαττέσθω, πολλὴ γὰρ αὐτοῦ ἐκκέχυται φήμη, ὅτι οἱ ἀναθηματισμοὶ ψευδεῖς, σχισματικῆς πλάνης, αἱρετικῆς κακομυθίας εἰσὶ μεστοὶ, ἀντιφθέγγονται τῷ Εὐαγγελίῳ, τὴν ἀποστολικὴν καταρρηγνύουσιν ἐκκλησίαν. ἀποστολικήν φημι τὴν γνησίαν, τὴν φυλάττουσαν πάλαι τῶν ἀποστολικῶν παραδόσεων. ὅσοι γάρ εἰσι τῶν ἐκείνης ἀποσκιρτήσαντες δογμάτων, καὶ ἀποστολικοὶ τυγχάνουσιν ὄντες ψευδωνύμως ἐν οἷς τὴν κλῆσιν τῆς ἀνατολικῆς ἐκκλησίας ἐπιφημίζουσιν, ἄρξεις ἀεὶ πρὸς τὸ ὑγιὲς ἐκείνης φρόνημα, πρὸς τὰ δόγματα, πρὸς τὴν ἀρχέγονον ἁγιστείαν διαφωνοῦσι.

ΑΝΑ-

ΑΝΑΘΕΜΑΤΙΣΜΟΣ γ.

Εἴ τις λέγει, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ μυστικῷ δείπνῳ ἄζυμον ἐσχηκέναι ὥσπερ τοὺς ἰουδαίους, οὐχὶ δὲ μᾶλλον ἔνζυμον, πόῤῥω ἡμῶν ἔστω, καὶ ἀνάθεμα ὡς ἰουδαϊκὰ φρονῶν, καὶ παρεισάγων εἰς τὴν ἐκκλησίαν τὰ Ἀπολλιναρίου καὶ τῶν Ἀρμενίων τὰ δόγματα. καὶ δεύτερον γοῦν ἔστω ἀνάθεμα.

ΑΠΑΝΤΗΣΙΣ.

ΕΝ τούτοις ἀναθεματίζει τοὺς θείους πατέρας, Χρυσόστομον ἐν οἷς κατέλιπεν ἱερῶν λόγοις ἱερουργιῶν, Ἐπιφάνιον ἐν τῇ τῶν Ἐβιωναίων αἱρέσει, καὶ τὸν ἅγιον ἱερομάρτυρα Πολύκαρπον· ὃς μετὰ πάντων τῶν τῆς Ἀσίας ἐπισκόπων, ὡς ἱστορεῖ Εὐσέβιος ἐν τῷ ε. τῆς ἐκκλησιαστικῆς ἱστορίας, τὸ παραδοθὲν αὐτοῖς ἔθος παρὰ τῶν Ἀποστόλων Ἰωάννου καὶ Φιλίππου διαφυλάττοντες, ἐτήρουν τὴν ἡμέραν τῆς ιδ. τὸ πάσχα κατὰ τὸ Εὐαγγέλιον, φησὶ, μηδὲν παρεκβαίνοντες, ἀλ-

λα κατὰ τὸν κανόνα τῆς πίστεως ἀκολουθῶν, ὅτε
οἱ Ἑβραῖοι τὰ ἄζυμα ἤρτυον. Εἰ δὲ τὸ ἔθος πά-
ποτέ τι συνεορτάζειν τοῖς Ἰουδαίοις καθ᾽ ἑαυτὴν αὐτῶν
τῆς ἑβδομάδος ἡμέραν μετέθετο ὕστερον κα-
λῶς ποιοῦντες, τοῦτο μὲν ταῖς προτροπαῖς καὶ
ἀπειλαῖς τῶν πάλαι Ῥώμης ἀρχιερέων, τοῦτο δὲ
τὸ κοινὸν ψήφισμα καὶ θεῖον κανόνα καθορισ-
θέντος τῆς ἁγίας ἐν Νικαίᾳ συνόδου, κε-
λευούσης τὸ ἔθος δεῖν πάντας τοὺς Χριστιανοὺς μιᾷ
ἡμέρᾳ τελεῖν τὸ πάσχα· Καὶ γὰρ ἔδοξε τοῖς
ἁγίοις ἀνάξιον, πληρωθῆναι τὴν ἁγιωτάτην ἑορ-
τὴν ἑπομένων τῶν Χριστιανῶν τῇ συνηθείᾳ τῶν
χριστοκτόνων, ὥς φησιν ὁ μέγας Κωνσταντῖνος
ἐν τῇ πρὸς τὰς ἐκκλησίας ἐπιστολῇ. αἴτιον ἄ-
ρα τῆς ἐναλλαγῆς τοῦ ἔθους γέγονε τὸ ἀνά-
ξιον τῆς μιμήσεως, ἤτοι ψευδῶς νομίσαι τοὺς
τῆς Ἀσίας, ὅτι Χριστὸς τῇ ἡμέρᾳ τῶν ἀζύμων
τὸ πάσχα τελέσας παρέδωκε τὰ μυστήρια. εἰ
γὰρ μὴ οὕτως εἶχεν, διὰ τί τοίνυν ἡ σύνοδος ἀ-
ναπέπεικε τοὺς τῆς Ἀσίας μὴ συνεορτάζειν τοῖς
Ἰουδαίοις, καὶ πλανωμένους ἤλεγξε διδά-
σκουσα, ὅτι ὁ Σωτὴρ οὐκ ἐπετέλεσε τὸ πάσχα
τῇ ἡμέρᾳ τῶν ἀζύμων. νῦν δὲ οὐδὲν τοιοῦτον
εὕρηκα, ἀλλ᾽ αἰτίαν τῆς μεταβολῆς τοῦ ἔθους

ἀξιο-

ἠξίωσεν διὰ τὴν ὁμολογουμένην τοῖς Χριστιανοῖς συμφωνίαν, καὶ τὸ ἄτοπον τὸ μιμεῖσθαι τοὺς Ἑβραίους, ὡς μαρτυρεῖ καὶ Χρυσόστομος ἐν τῷ εἰς τοὺς τὸ πρῶτον πάσχα νηστεύοντας.

Ἀλλ' ὁ τοὺς ἀναθεματισμοὺς ἐξυφάνας καὶ αὐτὸς καθυποτάττεται τῶν Εὐαγγελιστῶν, οἱ διαρρήδην βοῶσι, τὸν Κύριον τετελεκέναι τὸ νομικὸν πάσχα, ὅτε οὐκ ἐξῆν ἐν ζύμῳ χρῆσθαι. οὐδὲ συνηγορεῖ Κυρίλλῳ τῷ θεολόγῳ τὸ ῥητόν· Καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

Οὐ τοῦτο γὰρ σημαίνει ὁ θεολόγος, ὅτι οὐδέπω φαγόντες οὐκ εἰσῆλθον, ἢ ὅτι προφθάσας ὁ Σωτὴρ ἦγε τὸ πάσχα, καὶ ἐχρήσατο ἐνζύμῳ. ἀλλ' ἵνα φάγωσι, ἑρμηνεύει ὁ Χρυσόστομος, τὰ ἄζυμα τῆς ἑπτὰ ἡμέρας κατὰ τὸν νόμον. τῇ γὰρ αὐτῇ φράσει ἐχρήσατ' ἄν, ὁ θεολόγος κατὰ τὸν Χρυσόστομον, καὶ ἡ παρασκευὴ τοῦ πάθους ἐτύγχανεν οὖσα τῶν ἀζύμων ἡ ἑβδόμη. ἄλλως γὰρ πῶς ἔξεστι ποιῆσαι, τὸν μέγαν Εὐαγγελιστὴν ἄλλα παραδεδωκέναι τοῖς ἐν Ἀσίᾳ Χριστιανοῖς, καὶ ἄλλα ἐν τῷ Εὐαγγελίῳ ἱστορηκέναι;

Ἐπεὶ

Ἐπεὶ δὲ τῆς χρείας ταύτης ἐμνήσθημεν, φέρε τὸ μέγιστον τῶν τοῦ σχίσματος ἐποικοδομεῖται τειχίσμα, φημὶ δὲ τοῦ θείου Χρυσοστόμου τὴν εἰς τὸ Ἰωάννου ῥητὸν ἐξήγησιν ὑπὸ τολμηρῶν χειρῶν πεπισθεῖσαν προσθήκην, ἵνα καταβυθισθῇ ἡ ἀλήθεια. ἐν γὰρ τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ ἐξηγούμενος ὁ θεῖος πατὴρ τὸ, ἀπήγαγον τὸν Ἰησοῦν πρὸς Καϊάφαν· διὰ νυκτὸς ἦσαν, ἐπειδὴ καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι καὶ ἠγρύπνουν. οὐδὲ γὰρ ἔφαγον τότε τὸ πάσχα φησὶν, ἀλλὰ διὰ τοῦτο ἠγρύπνουν. τί οὖν ἤδη ποιεῖ, ὅτι ἐν ἑτέρᾳ ἡμέρᾳ ἔφαγον, καὶ τὸν νόμον ἔλυσαν διὰ τὴν ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν ταύτην. οὐδὲ γὰρ ὁ Χριστὸς παρέβη τὸν καιρὸν τοῦ πάσχα, ἀλλ' ἐκεῖνοι οἱ πάντα τολμῶντες, καὶ μυρίους καταπατοῦντες νόμους, ἐπειδὴ σφόδρα ἔζεον τῷ θυμῷ, καὶ πολλάκις ἐπιχειρήσαντες ἀνελεῖν οὐκ ἴσχυσαν, τότε δὲ λαβόντες αὐτὸν ἀπροσδοκήτως, εἵλοντο καὶ τὸ πάσχα ἀφεῖναι ὑπὲρ τοῦ τὴν φονικὴν αὐτῶν ἐμπλῆσαι ἐπιθυμίαν.

Ἐνταῦθα ὁ θεῖος πατὴρ διδάσκει σαφέστατα, τοὺς Ἰουδαίους παραβεβηκέναι τὴν νόμιμον ἡμέραν, τὸν Χριστὸν δὲ οὐδαμῶς προλαβεῖν.

φύσει. Καὶ ταύτῃ τῇ διδασκαλίᾳ συνῳδὰ φθεγξάμενος καθ' ὅλον τὸ κς. τοῦ κατὰ Ματθαῖον κεφάλαιον, πρώτην φησὶ τῶν ἀζύμων καλεῖ ὁ Ματθαῖος τὴν πρὸ τῶν ἀζύμων, καθώσπερ γὰρ ἀπὸ τῆς ἑσπέρας καὶ ἀριθμεῖ τὴν ἡμέραν. καὶ ταύτην μνημονεύει, καθ' ἣν ἐν τῇ ἑσπέρᾳ τὸ πάσχα ἔμελλε θύεσθαι. τῇ γὰρ πέμπτῃ προσῆλθον οἱ μαθηταὶ λέγοντες, ποῦ θέλεις, καὶ τὰ ἑξῆς. Καὶ ταύτην τὴν πέμπτην Ματθαῖος τὴν πρὸ τῶν ἀζύμων καλεῖ· Λουκᾶς δὲ ὅπου λέγει, Ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα τῆς ἑσπέρας δηλονότι μνημονεύων ἐκείνης, ἀπὸ γὰρ τῆς ἑσπέρας ἄρχονται. διὸ καὶ ἕκαστος προστίθησιν, ὅτε ἔθυον τὸ πάσχα. Ταύτην οὖν τὴν διδασκαλίαν πολλάκις ἐπαναλαβὼν ἐκεῖ ὁ Χρυσόστομος, τὴν ἑσπέραν τῆς πέμπτης διαγινώσκει ἀρχὴν τοῦ νομικοῦ πάσχα, καὶ ὅτι τὸν νόμιμον τοῦ πάσχα καιρὸν ὁ Χριστὸς οὐ παρέβη, καὶ ὅτι οἱ παραβαίνοντες τὸν καιρὸν ἦσαν οἱ Ἑβραῖοι· καὶ σύμφωνα γράφεις ἐν τοῖς εἰς τὴν προδοσίαν τοῦ Ἰούδα καὶ εἰς τὸ πάσχα· καὶ ἐν τοῖς εἰς τοὺς τὰ περὶ τὸ πάσχα ἐνστάντας, ἔνθα καὶ τοιαύταις κέχρηται λέξεσιν· Ἐπεὶ καὶ ὁ Χριστὸς διὰ

τοῦτο

τοῦτο μετὰ τῶν Ἰουδαίων τὸ πάσχα ἐποίησεν, οὐχ ἵνα ποιῶμεν ἡμεῖς μετ' ἐκείνων, ἀλλ' ἵνα τῇ σκιᾷ τὴν ἀλήθειαν ἐπαγάγῃ. πῶς δὲ τῇ ἐξηγήσει τῇ τοῦ Ἰωαννείου ῥητοῦ, Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα, τοὺς ἑαυτοῦ λόγους ἐπιλελησμένος ὁ Χρυσόστομος, καὶ ὡς ἀμνήμων τῶν τοσαυτάκις μετὰ πολλῆς ἀκριβείας καὶ σκέψεως αὐτοῦ εἰρημένων, ὡς ἐν παραδρομῇ πάλιν ἐναντία ἐφθέγξατο, ἔχει γὰρ οὕτως. Καὶ αὐτοὶ οὐκ εἰσῆλθον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

Τί δὲ λέγει, ἵνα φάγωσι τὸ πάσχα, καὶ μὴν αὐτὸς ἦν αὐτὸ πεποιηκὼς τῇ μιᾷ τῶν ἀζύμων. ἢ τοίνυν τὸ πάσχα τὴν ἑορτὴν πᾶσαν λέγει, ἢ ὅτι τότε ἐποίουν τὸ πάσχα, αὐτὸς δὲ πρὸ μιᾶς αὐτὸ παρέδωκεν τηρῶν τὴν ἑαυτοῦ σφαγὴν τῇ Παρασκευῇ, ὅτε τὸ παλαιὸν ἐγίνετο πάσχα.

Διὰ τούτων ἄρα τῶν λόγων ἢ αὐτὸς ἑαυτῷ ἀντιφθέγγεται ὁ Χρυσόστομος, καὶ ἀντιφθέγγεται ἅπαξ ἐνταῦθα εἰπὼν ὅτι ὁ Χριστὸς παρέβη τὸν καιρόν, πλειστάκις δὲ εἰπὼν ὅτι οὐ παρέβη· ἢ πᾶσα ἀνάγκη προσθήκην γεγενῆσθαι ταῖς Χρυσοστόμου φωναῖς παρὰ τῶν σκιᾷ τολμώντων, ἵνα συγκαλύψωσι τὴν ἀλήθειαν.

Τοκ-

Τεκμήριον δὲ τούτῳ ἱκανόν, ὅτι ἐν πολλοῖς ἀντιγράφοις τῆς ἑρμηνείας εἰς τὸ κατὰ Ἰωάννου τοῦ Χρυσοστόμου, κειμένοις ἐν τῇ λαμπρᾷ τοῦ Βατικανοῦ ἀρχιερατικῇ βιβλιοθήκῃ, ἔνεστιν ἰδεῖν τεῦχος ἐν τὴν γνησίαν τοῦ διδασκάλου ἑρμηνείας φυλάττει ἀπαραλλάκτως· ἔχει δὲ οὕτως. (Τί δέ ἐστιν, ἵνα φάγωσι τὸ πάσχα; Καὶ μὴν αὐτὸς ἐπ' αὐτὸ πεποίηκε τῇ μιᾷ τῶν ἀζύμων. πάσχα τὴν ἑορτὴν πᾶσαν λέγει) ὥστε τὸ τῆς προσθήκης καθαιρεῖται, καὶ λύεται ἡ φαινομένη παραλογία τῶν ἀζύμων.

Ἀλλὰ φασὶν οἱ κοινῆς προφάσεως προφασιζόμενοι· τὸ ἰουδαϊκὸν πάσχα ἑορταζόμενον ἤσθιον, ὁ δὲ Χριστὸς μετὰ τῶν μαθητῶν ἀνέκειτο, ἔτι γὰρ ἄρχει πάσχα παραδιδόναι, τὸ μυστικόν. καὶ οἱ ταῦτα προβάλλοντες οὐ συνιᾶσιν, ὅτι περὶ τούτου λαμπρῶς ἀπεκρίνατο ὁ Χρυσόστομος ἐν τῇ ἐξηγήσει τοῦ κατὰ Ματθαῖον κϛ. κεφ. ἑρμηνεύων τό· Μήτι ἐγώ εἰμι Κύριε, πῶς δέ φησιν, εἰ τὸ πάσχα ἤσθιον, παρανόμως ἤσθιον, οὐ γὰρ ἀνακειμένους ἔδει φαγεῖν. τί οὖν ἐστιν εἰπεῖν; ὅτι μετὰ τὸ φαγεῖν ἀνέκειντο λοιπὸν ἑστιώμενοι· ὥσπερ δὲ Εὐαγγελιστής φησιν, ὅτι κατὰ τὴν ἑσπέραν οὐκ ἤσθιε μόνον τὸ πάσχα, ἀλλὰ καὶ ἐλι-

γο

γεν· ἐπιθυμίᾳ ἐπεθύμησα τὸ πάσχα τοῦτο φαγεῖν μεθ' ὑμῶν, τουτέστι τὸ τῆς κοινωνίας τούτου. τί δήποτε, ὅτι τοῦτο ἔμελλεν τῆς οἰκουμένης ἡ σωτηρία γίνεσθαι, καὶ τὰ μυστήρια παραδίδοσθαι, καὶ τὰ λυπηρὰ λύεσθαι διὰ τοῦ θανάτου. ὅθεν πανταχόθεν ἐξελέγχεται ἡ τῶν ἐζύμων παράθεσις. οὐ ταῦτα δὲ λεγομένων, ὡς μὴ καὶ ἐν ἀζύμοις ἢ ἐνζύμοις γινομένης ἀληθῶς τῆς θεοδότης ἱερουργίας· ἀλλ' ἡ τοῦ Κυρίλλου στηλιτεύεται καὶ ἀπαραδεκτεία καὶ ὁ προπετὴς ἀναθεματισμός. παρεδίδοντο γὰρ ἐν ἐνζύμῳ τὰ μυστήρια ὑπὸ τοῦ Κυρίου, ὅτε τὸ Εὐαγγέλιον, ὅτε τις τῶν ἱερῶν ἀπεκήρυττο διδασκάλων. Ἤκουσα γάρ φησιν ὁ Χρυσόστομος ἐν τῷ εἰς τὴν προδοσίαν λόγῳ· Ὁρᾷς πῶς ἀκάθαρτα τὰ ἄζυμα, πῶς παράνομος ἡ ἑορτή, πῶς πάσχα ἰουδαϊκὸν οὐκ ἔστιν, ἀλλ' ἐλύθη; ἀναμφίβολος ὁ μὲν σκοπὸς τοῦ διδασκάλου τὴν ἔννοιαν. εἰ δ' αὐτὴ καὶ ὁ σχισματικός, ὅτι ἄζυμα ὅλως τὰ ἰουδαϊκά, καὶ διὰ τοῦτο φαυλότερα· μανθανέτω, ὅτι καὶ ἐζυμωμένους ἄρτους προσέφερον οἱ Ἑβραῖοι, ὡς δηλοῖ ἐν τῷ κβ. κεφαλαίῳ τοῦ Λευιτικοῦ. φαυλότερα ἄρα καὶ ὁ ἔνζυμος τοῖς Χριστιανοῖς. καὶ καταγνώτω Κύριλλος, ὡς αὐτὸς

βλασ-

βλασφημιῶν βάθεσιν ἐμπεπτώκασιν. ἐνυβρι-
ζουσι γὰρ εἰς τὰ ἄζυμα ὡς ἰουδαϊκά, ἐνυβρίζει εἰς
ἰουδαϊκὰ καὶ εἰς τὰ ἔνζυμα, καὶ βεβηλοῖ τὰ ἀβέ-
βηλα· ὁ δέ φησιν, διὰ τοῦ ἀζύμου παρεισά-
γεσθαι εἰς τὴν ἐκκλησίαν τὰ Ἀπολιναρίου δόγ-
ματα καὶ τῶν Ἀρμενίων· ποίαν ἐνδαποκρύπτει ἀ-
μαθίας ὑποβολήν; ἔλεγεν Ἀπολινάριος, τὴν
ἀνθρωπότητα τοῦ Χριστοῦ ἄψυχον, ἀλλ' αὐτὴν
ἀντὶ δὲ νοῦ γενέσθαι αὐτῇ τὸν Θεὸν λόγον, ἀνα-
πληροῦν καὶ ἐλλιπῆ τὴν προσληφθεῖσαν ἀν-
θρωπότητα θέλοντες, ἐντεῦθεν δογματίζει
τὸ ἄζυμον, ἵνα τὸ ἐλλιπὲς τῆς ζύμης ἀπο-
δεῖ τὸν ἄρτον καθίστησιν. ἀλλ' ἀπέφηνεν ἐκ
ταύτης τῆς ἀναλογίας τὸ ἄζυμον τῶν δόγμα
τοῦ Ἀπολιναρίου, συμπεριέχων ἐξ αὐτῆς τὴν ἰδιω-
τείαν ἀμαθεστάτοις νοήμασιν, ὡσαύτως γελοῖον
καὶ τὸ παρασκευάσαι δόγμα τῶν Ἀρμενίων. καθ' ἃς
γὰρ τῶν κατὰ Νεστορίου γεγράφασι καὶ τῶν ἐκείνου
συμβλασφημούντων ἀρχαί που τὸ ἄζυμον δόγ-
μα τῶν Ἀρμενίων, ἀλλ' ἢ κατά τινα ἴσως κα-
τάλειψιν. ἐπειδὴ γὰρ οἱ θεῖοι πατέρες τὸν Νε-
στόριον πανταχοῦ ἰουδαιόφρονα καλοῦσιν, ἰου-
δαῖοι δὲ ἀζύμοις ἐχρῶντο, τὰ ἴδια τῶν ἰουδαίων
καὶ τοῖς περὶ Νεστόριον προσῳκείωσαν ἀμαθῶς

καὶ ἀλογίας ἐστίν. ὅτι γὰρ ὁ μακάριος Πρόκλος ἐν οἷς κατὰ Νεστορίου γέγραφε πρὸς Ἀρμενίους ἐγκαλεῖ τι περὶ τοῦ ἀζύμου· ὅτε ἡ προσθήκη σπεύδεις, ἡ πολλὰ τῆς Ῥωμαϊκῆς καταβλαψάσασα ἐκκλησίας, καὶ κατὰ τῶν παρὰ Ἀρμενίοις καταχρήσεων τέσσαρας ἐκθεμένη κανόνας, τὸν λβ. λγ. λς. λθ. ἐν οἷς καὶ τὸ ἰουδαϊκὸν γινόμενον παρ' αὐτοῖς διορθοῦται, μέμφεταί που ἀζύμων· ἢ δῆλος ὡς τοῦτο συνεχῶς, ὅπως ἤδει τοὺς Ἀρμενίους ἰουδαϊκοῖς ἀζύμοις χρωμένους, ἔνθα μάλιστα κατὰ τὸν λβ. κανόνα μέμφεται, ὅτι ἐν τῇ ἱερουργίᾳ τῆς ἀναιμάκτου θυσίας μόνον οἶνον προσάγουσι. ἐκ τῶν τοίνυν παρ' Ἀρμενίοις ἰουδαϊκῶν δογμάτων καὶ παραχρήσεων λαμβάνειν, ὅτι καὶ τὸ τῶν ἀζύμων δόγμα ἐστὶν Ἀρμενίων, ἀσυλλογίστως ἐστὶ συλλογίζεσθαι. τί γὰρ κοινὸν κυνὶ καὶ βαλανείῳ, ἡ παροιμία φησίν.

ΑΝΑ-

ΑΝΑΘΕΜΑΤΙΣΜΟΣ δ.

Εἴ τις λέγει, δεῖν μετὰ τὴν ἀποβίωσιν κρίσεως τὴν Χριστιανοῦ ψυχὴν πρὸ τῆς κοινῆς καὶ καθόλου κρίσεως, ἣν ὁ Κύριος ἐν τῷ ἱερῷ Εὐαγγελίῳ προεῖπεν ἡμῖν ἐσομένην, ἀνάθεμα. πρὸς τούτοις εἴ τις λέγει, μέλλειν ἔρχεσθαι τὸν Κύριον, ἵνα κρίνῃ, καὶ δικαίαν ψῆφον ἐξάγῃ περὶ τῶν σωμάτων, οὐ περὶ τῶν ψυχῶν, ἔστω ἀνάθεμα.

ΑΠΑΝΤΗΣΙΣ.

ΕΝταῦθα τῷ ἀναθεματισμῷ οὐ μόνον περιέχεται τὸν μέγαν φωστῆρα τὸν θεολόγον Γρηγόριον, ἀλλὰ καὶ τὴν περιφανῆ τῶν οἰκουμενικῶν συνόδων, ἐπιφέρεις δὲ τὴν ἐκλεκτὴν παλαιὰν ἀξίαν ἀποστολικὴν ἐκκλησίαν. τί γὰρ ἄλλο βούλεται ὁ Θεολόγος, ἔνθα φησὶν ὡς ἐπιστημονησάμεθα, ἐν τῷ εἰς τὸ ἅγιον βάπτισμα λόγῳ, περὶ τῶν μεταμελειῶν διαλεγόμενος. Τίς δὲ ὁ ἐγγυητής, ὅτι μόνῃ τὴν θεωρίαν ὁ Θεολό-

K γος

τος, ἀλλ' οὐκ ἐφέλκοντας ἡμᾶς ἔτι τὸ κριτήριον ἀποδέξονται, καὶ τὰς ἑκάστου διαμβὰς πυρώσεις, πῶς νῦν Κύριλλος τὸ κριτήριον, ἄρα τὸ μέλλον, τὸ καθόλου, ἀλλὰ τὸ ἐπὶ μερικὸν οὐχὶ θεραπείας καὶ πυρώσεως, ἀλλὰ κολάσεως καὶ πυρὸς ἀσβέστου. ἀνάγκη τοίνυν τὸ τοιοῦτον κριτήριον εἶναι παρὰ τὸ καθόλου μερικόν.

Ἡ δὲ ἁγία πέμπτη σύνοδος ἀποδεξαμένη, ἃ περὶ Ὠριγένους γέγραφεν ὁ βασιλεὺς Ἰουστινιανὸς, καὶ τὴν παραβολὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ἐν τῷ Εὐαγγελίῳ ἱστορικὴν ὑπηγόρευσε διήγησιν. βουλόμενος γὰρ ἀποδεῖξαι ὁ βασιλεὺς, τὴν προΰπαρξιν τῶν ψυχῶν μῦθον εἶναι καὶ λῆρον τοῦ Ὠριγένους.

Εἰ προϋπῆρχον, φησὶν, αἱ ψυχαὶ, ἐγίνωσκον ἂν καὶ ἐμέμνηντο τῶν περὶ τοῦ κατελθεῖν εἰς τὸ σῶμα, ὥσπερ μετὰ τὴν τελευτὴν ὑφίστανται καὶ γινώσκουσι τὰ πραχθέντα αὐταῖς ἐν τοῖς σώμασιν. νῦν δὲ μετὰ τὸν θάνατον μεμνῆσθαι αὐτὰς τῶν διὰ τοῦ σώματος πεπραγμένων κατασκευάζει ἐξ ὧν εἴρηκεν ὁ πλούσιος ὑπάρχων ἐν βασάνοις πρὸς τὸν Ἀβραὰμ περὶ Λαζάρου, τῆς δὲ προϋπάρξεως οὐδεμία ἀπόδειξις. ψεύδεται λοιπὸν Ὠριγένης.

Εἰ

Εἰ τοίνυν ἱστορικὴ διήγησις ἡ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου. Καὶ ὁ Λάζαρος ἀποθανὼν ἀπηνέχθη ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ, ὁ πλούσιος δὲ καὶ αὐτὸς ἀποθανὼν κατῆλθεν εἰς ᾅδου· εἰ, ὡς ὁ Κύριλλος, εἰ δυνατὸν μερικῆς αὐτοὺς προηγουμένης κρίσεως τὸν μὲν λήξεως τυχεῖν μακαρίας, τὸν δὲ κολάσεως. ἀλλὰ τοῦτο πάντως ἀδύνατον, ἀσεβὴς ἄρα τοῦ Κυρίλλου ὁ ἀναθεματισμός.

Ὁ πλεῖστα δὲ ἡ τῆς ἀνατολῆς ἐκκλησία δέεται καὶ ἐκλιπαρεῖ ὑπὲρ τῶν ἐν πίστει κεκοιμημένων, ὅπως καταξιωθῶσιν ἐν τόπῳ ἀναπαύσεως, οὐδὲ τῶν ἐνδεχομένων ἐστὶ τοῦτο γενέσθαι μὴ καμφθέντος τοῦ δικαστοῦ, καὶ συγκατανεύσαντος ταῖς δεήσεσι; δικάζει τοίνυν ὁ κριτής, καὶ περὶ τῆς κεκοιμημένης ψυχῆς ἀποφαίνεται. τί δ' ἄλλο τοῦτο, ἢ μερικὴ δικαιοδοσία; Καὶ εἰ μὲν τούτοις συνομολογεῖ Κύριλλος, ἀποπτυέτω τοὺς ἀθεμίτους αὐτοῦ ἀναθεματισμούς. εἰ δ' ἀντιτείνει, ἐξίσταται τῶν φρενῶν.

Τί δὲ ἔτι καὶ τοῦ μακαριωτάτου Γρηγορίου τοῦ Διαλόγου καθάπτεται ὅδε ὁ ἀναθεματισ-

μεις, ὁ μὲν γάρ φησι μίαν μόνην εἶναι κρίσιν τὴν καθόλου, ὁ δὲ ἱερώτατος διάλογος ἐν τῷ κε. Κεφαλ. τοῦ δ. τῶν διαλόγων σαφῶς διδάσκει, τί μὲν αἱ ψυχαὶ λαμβάνουσι περὶ τῆς καθόλου κρίσεως, τί δὲ ἔτι λήψονται ἐν τῇ κρίσει.

Μέγα τοι ἐστὶ καὶ δεινὸν τὴν διδασκαλίαν τῶν ἁγίων ἀθετεῖν, καὶ οὐδὲν ἱεροπρεπές. μεῖζον δὲ τὸ καὶ τὰς τῶν πολλῶν ψυχὰς τῇ ψευδοδιδασκαλίᾳ συσκοτίζειν, τὸ δὲ καὶ βάλλειν ἀναθέματι τοὺς μὴ βουλομένους ἀσεβεῖν, ἀθείας τόλμα, καὶ σκαιοτάτη ὑπόθεσις.

ΑΝΑΘΕΜΑΤΙΣΜΟΣ ϛ.

Εἴ τις λέγει, τὰς ψυχὰς τῶν ἐν τούτῳ τῷ βίῳ μετανοησάντων ὑποδεξαμένων Χριστιανῶν, μὴ δὲ Κανόνα τὸν ὀφειλόμενον ἐκπληρωσάντων, χωρισθείσας τοῦ σώματος ἀπιέναι εἰς Καθαρτήριον πῦρ, ἔνθα φλὸξ καὶ τιμωρία καὶ κόλασις· ὅπερ Ἑλληνικὸς ἐστι μῦθος· ἀνάθεμα. οἱ γὰρ οὕτω φρονοῦντες ἄδειαν τοῦ ἁμαρτάνειν διδόασι τοῖς Χριστιανοῖς.

ΑΠΑΝ-

ΑΠΑΝΤΗΣΙΣ.

Καὶ ὅδε ὁ ἀναθεματισμὸς φέρεται μὲν παρὰ τῶν ἱερῶν διδασκάλων, καὶ μάλιστα δὲ Βασιλείου τοῦ μεγάλου ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος πρὸς Ἀμφιλόχιον κεφ. ιε. ἐξηγούμενος γὰρ τὴν φωνὴν τοῦ βαπτιστοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· τὸ τῷ πυρί, φησι, καλεῖται βάπτισμα, τὴν ἐν τῇ κρίσει δοκιμασίαν, καθά φησιν ὁ Ἀπόστολος· ἑκάστου τὸ ἔργον ἀποδειχθῇ, τὸ πῦρ δοκιμάσει. Καὶ πάλιν· Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται. εἰ ταῦτα τοῦ Βασιλείου μηδὲν ἔστιν ἑλληνικὸς, θριαμβευέτω Κύριλλος. εἰ δὲ ἢ ψεύδεται, παρερμηνεύοντος, ἐγκαλυπτέσθω Κύριλλος, καὶ τοὺς Χριστιανοὺς τῶν ἀδίκων ἀναθεματισμῶν καταγελάτω.

Περὶ τούτου σαφέστερον καὶ διεξοδικώτερον ὁ Βασίλειος ἐν τῇ εἰς τὸν Ἡσαΐαν πραγματείᾳ. Καὶ τὰ χωρία ταῦτα ἐξετέθη ἐν τῇ ἑρμηνείᾳ τῶν κ. κεφαλαίων παρὰ τῆς ἁγίας ἐν Φλωρεντίᾳ συνόδου.

Φέρεται ὁ ἀναθεματισμὸς καὶ παρὰ Γρηγορίου τοῦ Θεολόγου. οὗτος γὰρ κηρύσσει περὶ τῶν φονικῶν

ἐκείνου, ὡς ἐνόμιζεν προσεκτέον δεξάμενος, ἢ τῷ εἰς τὸ ἄλλο βάπτισμα. Τίς δὲ ὁ ἐγκληματικός, ὅτι μόνον τὴν θεραπείαν τὸ τέλος, ἀλλ' οὐκ ὠφελοῦντας ἡμᾶς ἔτι τὸ κριτήριον ὑποδέξεται καὶ τῆς ὀπίσω [illegible] συγγνώμης, [illegible] γὰρ ὁ διδάσκαλος περὶ μετανοησάντων λόγον, καὶ ἐν μετανοίᾳ τελευτησάντων μὴ πληρωθείσης τῆς ἐπὶ τοῖς ἐπταισμένοις ἐπανορθώσεως, καὶ διὰ τοῦτο δεομένων καὶ τῆς μετὰ τὸν βίον συγγνώμης, ταῦτα γὰρ οὐδαμοῦ οὐδαμῶς εἶπε νῦν περὶ τῶν κολαζομένων ἐν ᾅδου ψυχῶν. οὐ γὰρ τοὺς ἑλληνικοὺς μύθους ἐδίδαξεν ἡμᾶς ὁ θεολόγος Γρηγόριος, [illegible] Γρηγορίου καὶ τοῦ Πλάτωνος καὶ αἰσχύνεται [illegible] τοὺς [illegible] [illegible].

Πάλιν ὁ θεολόγος ἐν τῷ πρὸς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας· Ἐποικοδομοῦντες, φησίν, τῷ θεμελίῳ τῆς πίστεως μὴ ξύλον μηδὲ χόρτον, μηδὲ καλάμην ὕλην ἀσθενῆ καὶ εὐδαπάνητον, [illegible] [illegible] [illegible] ἢ καθαίρηται, ἀλλὰ χρυσόν, ἄργυρον, λίθους τιμίους, τὰ μένοντα καὶ [illegible].

[illegible] τοιαῦτ' [illegible] [illegible], καὶ

[illegible]

γίνου [illegible].

Τί δ' ἄλλο [illegible]

Ὁ θεὸς τῶν [illegible]

 γὰρ

γὰρ νῦν ἀφανῆ εἰς ἀγαθοὺς καὶ φιλαλήθεις συγ-χωρήσει.

Ἑρμηνεύων δ' ἄρα Κύριλλος, τί σημαίνει τὸ, Ἐν τόπῳ ἀναψύξεως, καὶ τὰ ἑξῆς. Καὶ ὅπως μυθικὰς προσβάλλει ἡ ἐκκλησία τῶν Γραικῶν παρ' ἄλλοις διδαχθεῖσα παρὰ τῶν ἁγίων πατέρων ἕ-νεκα τῆς ἐκκλησιαστικῆς φωνῆς, αὐτὸς τοὺς προφανῶς ἀντιπάσχει τοῖς Γραικοῖς, ἵνα γνῶσιν, ὡς ἐψηφί-σαντο πατριάρχαι, ἀντίδικοι, ἐχθροὶ, πο-λέμιοι τῆς θρησκείας τῶν Γραικῶν. εἰ δὲ τοῦ-το κινδυνεύει, τοὺς καὶ ἀναφανεῖ ἀναθεματισ-μοὺς τῆς ἑτεροδοξίας καὶ ἀσεβείας μεγάλης, καὶ ὀνομάζει τοὺς λοιποὺς εἰσαγαγεῖν αὐτὸν τῷ φύλακι τῆς προσκυνήσεως τῶν δογματιζομένων παρ' αὐ-τοῖς, ὡς δὴ φθορεύς ὢν καὶ λυμεὼν τῆς πα-λαιᾶς τῶν ἁγίων διδασκαλίας, τῆς ἀπαραφθό-ρου [illegible] καὶ τῶν ἀποστολικῶν παραδό-σεων. Καὶ τοῦτο ἑρμηνεύεις λέγει, τὸ Κα-θαρτηρίου τὸ δόγμα ὑμνοῦσι τοῖς Χριστιανοῖς πρὸς τὸ [illegible] ἀρχόμενοι.

Αὕτη γὰρ [illegible] [illegible] ἡ [illegible] μέμψις τῆς ἁγίας [illegible] ἐκκλησίας. [illegible] ἐκεῖνος γὰρ [illegible] τῆς [illegible] [illegible] [illegible] εἶναι [illegible] καὶ [illegible]-

στον

πων ἀνήφθη τῆς τῶν [illegible] αὐτῶν τάξιν. δι' ὧν οἱ ἄνθρωποι ἐγίνοντο ῥαθυμότεροι πρὸς τὸ [illegible] τῆς τελείας [illegible].

Τὸ Καθαρτήριον δὲ τοὺς ἀνθρώπους ἀξίως, ἤγουν τῆς εὐσεβείας πολιτευομένους, καὶ σὺν μετανοίᾳ τὸν βίον καταλύουσι φόβον ἐμβάλλει τῶν, ὡς οὐκ ἔτι ἐξομολογηθεῖσι ἐν τῷ Καθαρτηρίῳ, τιμωριῶν. Κύριλλος καὶ οἱ σὺν αὐτῷ ἀναιροῦντες τὸ Καθαρτήριον χαύνους ποιοῦσι καὶ [illegible] τοὺς Χριστιανούς, διδάσκοντες [illegible] τῷ παρόντι βίῳ [illegible]. Συλλογίζονται γοῦν οἱ [illegible] [illegible] τοὺς [illegible] ἀξίαν [illegible] [illegible] τοὺς [illegible]· ἀλλὰ [illegible] τὸ πλέον καὶ τὸ ἔλαττον [illegible] [illegible] δίκας, [illegible] [illegible] τιμωρίαν [illegible]. [illegible] τῆς πολλῆς [illegible] τοῦ [illegible]. [illegible] τῆς ἐν τῷ διδάσκειν [illegible] τῆς πίστεως [illegible].

ΑΝΑ-

ΑΝΑΘΕΜΑΤΙΣΜΟΣ ϛ.

Εἴ τις λέγει, κεφαλὴν τῆς ἐκκλησίας εἶναι τὸν Πάπαν Ῥώμης, ἀλλ' οὐχὶ τὸν Χριστόν, ἔστω ἀνάθεμα.

ΑΠΑΝΤΗΣΙΣ.

Τί φησι Κύριλλος; εἴ τις λέξει κεφαλὴν τὸν Πάπαν, ἢ τὸν Χριστόν, ὡς ἂν εἴ τις φαίη, κεφαλὴν οὐχὶ τὸν ἐπίσκοπον, ἀλλὰ τὸν ὑπέχοντα τὸν ἐκείνου τόπον. Τίς οὖν διαφέρει ὡς τοῦτο λέγειν, πανούργως καὶ κακούργως σοφίζεται Κύριλλος· οἱ φάσκοντες κεφαλὴν εἶναι τὸν Πάπαν ὡς τοποτηρητὴν τοῦ Χριστοῦ, οὐκ ἀφαιροῦνται τὸν Χριστὸν τὴν κεφαλὴν εἶναι. ὅτι γοῦν ὁ Κύριλλος πλειστῶν καὶ πλανώμενος, ὡς αἱ φωναὶ τοῦ Ἀποστόλου σαφηνεῖ καὶ γραφαῖς ἀνθρώπων. ἐν ταύτῃ δὲ τῷ κεφαλαίῳ καὶ μοχθηρίας γέμοντι ἀναθεματισμῷ πλάττεται οἱ θεῖοι πατέρες τῆς ἁγίας οἰκουμενικῆς δ΄ συνόδου, ἐν οἷς ἐκείνη γεγράφουσα τῷ ἐν ἁγίοις Λέοντι τῷ Ῥώμης ἐπιγινώσκει καὶ καθομολογεῖ πατέρα, κεφαλήν, καὶ κορυφὴν ἑαυτῆς τὸν Πάπαν. συμ-

φωνεῖ

φωνῇ γνησίᾳ Κυρίλλῳ πρὸς τὴν οἰκουμενικὴν σύνοδον. διαφωνοῦσι δὲ ἑτέρας περὶ πίστεως. οἱ δὲ πίστιν ἔχοντες ἑτέραν ἢ ἔστι τῆς καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας, οὐκ εἰσὶν ὀρθόδοξοι, οὐδὲ τῷ ὄντι Χριστιανοί. τοῦτο δὲ ἐστὶ τὰ παρὰ τῶν πατέρων ἀναθεματισμοῖς γνώρισμα.

ΕΠΙΛΟΓΟΣ ΚΥΡΙΛΛΟΥ

περὶ τοῦ ἀναθεματισμοῦ.

Δέομαι ὑμῶν Χριστιανοί μου πρὸς τοῦ Κυρίου καὶ τοῦ συμφέροντος τῆς ὑμετέρας ψυχῆς, τὰς λύμας ταύτας ὅπως ποτ' οὖν φυλάττεσθε. Καὶ τὸν τόμον τοῦτον πολλάκις ἐν ἐκκλησίαις ἀναγινώσκοντες, ἵνα εἰδῆτε τὰ κεφάλαια, ἐν οἷς μέλλουσιν ὑμῖν οἱ αἱρετικοὶ πολεμεῖν. οὐ δι' ὅλου τοῦ βίου τοῦτο ἔμαθον ἐδιδάχθησαν, τίνα τρόπον τοὺς ὀρθοδόξους ἡμῶν ἀντιφέρονται Χριστιανούς. ἵνα δηλαδὴ Γραικοὺς τὰ δογματικὰ τῶν Γραικῶν ἀποφύγωσι. ἀλλ' ἡμεῖς ἀποκρουόμεθα αὐτοὺς ἀντιστῶμεν τῇ ... δυνάμεις. προσδεχέσθω δὲ μὴ ἀποστῆναι εἰς πειρασμὸν τῆς πίστεως ἕνεκα, καὶ τῆς ... ἢ τὸ αἷμα ἐκχέειν ὑπὲρ ... ἀλλ' ὁ ... τοῦτο ὁ Θεὸς ἐχο-

ἔχομεν γὰρ ὑπεναντίους Θεοῦ χάριτι ἀμαθεῖς καὶ τυφλοὺς καὶ ἀπειθεῖς. πλὴν προσέχετε ὑμῖν, καὶ φυλάττεσθε τοὺς τοιούτους. Καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἴη βοηθὸς ὑμῖν, καὶ εὐλογήσαι, καὶ χορηγήσαι ἀσφάλειαν καταστάσιν. ἅμα δὲ καὶ ἡ εὐχὴ τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν. Ἀμήν.

Κύριλλος ἐλέῳ Θεοῦ Πάπας καὶ Πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας.

Παρρησιαστικοῖς λόγοις χρησάμενος ὁ ζῆλος Θεοῦ τοῦ κατ᾽ ἐπίγνωσιν, ἀλλὰ ζηλοτυπίᾳ τῇ μετὰ σχισματικῆς πονηρίᾳ οἰκείᾳ ἀπογραφῇ ἑαυτὸν ὑποσημειώσατο Κύριλλος. ἔτος ἤδη τρίτον ἐστὶν ἀφ᾽ οὗ τὸ ἴχνος καὶ λοιπὰ τοῖς ὑγιέσιν ἀντίγραφα δόγματα ἐν Λευκωλιν παρὰ Δημητρίου τοῦ Σολιναβίου ἀρχιεπισκόπου Λατίνων, παραγγελλόμενος ὅπως εἴτε τῇ ἀκολουθήσῃ καὶ συμπαραλάβῃ τὴν ἕνωσιν τῶν ἐκείνων, ἢ μᾶλλον ὑπακοῦσαι πρὸς τὴν ματαίαν τῇ ἐκκλησιῶν τὴν ἀποστολικὴν καθέδραν.

Καὶ

Καὶ αὐτὸ δὲ περίγραφος αὐτοῦ φέρεται ὑπογρα-
φὴ ταῖς Καλβινιζούσαις βλασφημίαις.

Τοῦ ἀναθεματισμοῦ ἡ ὑπογραφὴ ὅλον ἀπο-
τελεῖ ἀπέλεγχον σχισματικόν.

Ἡ ἐν Λευκοπόλει ὑπογραφὴ ἄδηλος, εἰ προ-
σῆπται αὐτῇ τὸ ὀρθόδοξον.

Ἡ παρ' ὑπογραφὴ δίδωσιν ἴσως αὐτοῦ τοῦ
Καλβινισμοῦ τὸ ἀκέραιον.

Τοῦ Κεδρηνοῦ, τὸν μὴ ἀμφοτέρων ἔξιν, ἀλλ'
ἀμφοτέρων παρέστησαν τὰς αὐθεντίας, Ἀλλὰ
σατιν αὐτὸς, εἰσὶ προσκολλῶνται, ποίας μα-
θήσεως εἰσίν. ἴσασι πάντες οἱ Χριστιανοὶ ἐξ ὧν
ἀκηκόασιν, ἐξ ὧν ἱστορήκασιν, ὅτι Κύριλλος
ὁ καὶ Κωνσταντινουπόλεως οὐκ ἐξηκολούθει
τοῖς δόγμασιν, τῇ πίστει τῆς παραδόσεως τῶν
ἁγίων ἑπτὰ οἰκουμενικῶν Συνόδων, ἃς οἱ Γραι-
κοὶ ὁλοψύχως ἀσπάζονται. ἴσασιν, ὅτι οἱ
θεσμοὶ τοῦ Ἀθανασίου, Βασιλείου, Γρηγορίου τοῦ
Θεολόγου, Χρυσοστόμου, Κυρίλλου Ἀλεξαν-
δρείας, καὶ τῶν λοιπῶν τῆς ἐκκλησίας λαμπτήρων.
Δηλοποιείτω γοῦν αὐτοῖς ποίου κόμματος ἐστίν·
οὐ γὰρ περὶ τῶν τυχόντων, ἀλλὰ περὶ πίστεως,
περὶ ψυχῆς, περὶ τῆς ὅλης ὁ κίνδυνος. συλλο-
γιζέσθω δὲ τὴν φρικωδεστάτην τοῦ Σωτῆρος φω-
νήν.

νῶν. Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. εἰ δὲ ἡ [illegible] ἐστι τὸ σκάνδαλον, ὑφ' οὗ λαοί, καὶ ἔθνη, καὶ γένη ὅλα [illegible] [illegible], καὶ, [illegible] τοῦ ἀνθρώπου ἐκείνου. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

Μετὰ [illegible] [illegible] τις [illegible] [illegible].

Πλάττειν [illegible] [illegible] μὴ [illegible] δὶς νόσος.
Κάλλιον Γρηγόριε [illegible] [illegible] οὐ πλάσαις
Δὶς δυστυχεῖν ἄν, [illegible] [illegible] οὐκ ἐπλάσας.

APODOKIMASIA KAI KATAKRISIS TES EP ONOMATI KYRILLOU PATRIARCHOU KONSTANTINOUPOLEOS...

Ioannes Matthaios Caryophyllos